ΑΓΙΟΥ ΝΕΚΤΑΡΙΟΥ ΠΕΝΤΑΠΟΛΕΩΣ

# ΠΡΟΣΕΥΧΗΤΑΡΙΟΝ ΚΑΤΑΝΥΚΤΙΚΟΝ

ΕΚΔΟΣΕΙΣ
ΤΟ ΠΕΡΙΒΟΛΙ ΤΗΣ ΠΑΝΑΓΙΑΣ

© Ἐκδόσεις «Τὸ Περιβόλι τῆς Παναγίας»
Πρασακάκη 9 - 546 22 Θεσσαλονίκη
Τηλ. 2310 231040, 2310 283 805, φὰξ 2310 241 254
E-mail: bookstore@toperivoli.gr

Α' ἔκδοση 1993
Γ' ἔκδοση 2005

ISBN 960-7407-24-5



Ἀφιεροῦται ἐν πολλῇ εὐλαβείᾳ
τῇ σεπτῇ μνήμῃ τοῦ πατρὸς Γερασίμου
κλέους τῆς Σκήτης Μικρᾶς Ἁγίας Ἄννης
Ὑμνογράφου τε τῆς Χριστοῦ Ἐκκλησίας.

## ΠΕΡΙΕΧΟΜΕΝΑ


Πρόλογος 9
Προοιμιακὴ προσευχὴ 13
Ἀκολουθία τοῦ Μεσονυκτικοῦ 16
Ἀκολουθία τοῦ Ὄρθρου 25
Ἀκολουθία τῆς ἐνάτης Ὥρας 45
Ἀκολουθία τοῦ Ἑσπερινοῦ 52
Ἀκολουθία τοῦ μικροῦ Ἀποδείπνου 62
Ἀκολουθία τοῦ μεγάλου Ἀποδείπνου 74
Αἱ Ἀκολουθίαι τῆς Διακαινησίμου 100
Στιχηρά, καθίσματα, ἀπολυτίκια τῆς ἑβδομάδος
Τῇ Κυριακῇ ἑσπέρας 103
Τῇ Δευτέρᾳ πρωΐ 106
Τῇ Δευτέρᾳ ἑσπέρας 110
Τῇ Τρίτῃ πρωΐ 114
Τῇ Τρίτῃ ἑσπέρας 118
Τῇ Τετάρτῃ πρωΐ 121
Τῇ Τετάρτῃ ἑσπέρας 125
Τῇ Πέμπτῃ πρωΐ 129
Τῇ Πέμπτῃ ἑσπέρας 133
Τῇ Παρασκευῇ πρωΐ 138
Τῇ Παρασκευῇ ἑσπέρας 142
Τῷ Σαββάτῳ πρωΐ 146
Κανόνες κατανυκτικοὶ ψαλλόμενοι εἰς τὸν ὄρθρον 150

Τροπάρια ψαλλόμενα εἰς μνήμας ἁγίων 175
Εὐχαὶ κατανυκτικαὶ 187
Κανὼν ἱκετήριος εἰς τὸν Κύριον ἡμῶν Ἰ. Χριστὸν 199
Ἀκολουθία τοῦ μικροῦ παρακλητικοῦ κανόνος 209
Ἀκολουθία τοῦ μεγάλου παρακλητικοῦ κανόνος 224
Οἱ Χαιρετισμοὶ τῆς Θεοτόκου 235
Ἀκολουθία τῆς θείας Μεταλήψεως 248
Εὐχαριστία μετὰ τὴν θείαν Μετάληψιν 274
Εὐχαὶ τῆς τραπέζης 280
Μηνολόγιον 282
Ἑρμηνεία στιχολογίας τοῦ Ψαλτηρίου 294
Κατανομὴ τῶν Ψαλμῶν καθ' ὕλην 297
Ἡμερομηνίαι τοῦ Πάσχα (1991-2092) 299
Πασχάλιον αἰώνιον τῶν κινητῶν ἑορτῶν 300



## ΠΡΟΛΟΓΟΣ

Βασισμένη στὴν ψαλμικὴ ἔκφραση "ἑπτάκις τῆς ἡμέρας" (Ψαλμ. 118, 164), ἡ παράδοση τῆς Ἐκκλησίας μοίρασε στὰ ἑπτὰ τὴν προσευχὴ τοῦ ἡμερονυκτίου καὶ ξεχώρισαν οἱ ἀκολουθίες: Μεσονυκτικὸ μὲ τὴν προοιμιακὴ προσευχή, Ὄρθρος μὲ τὴν Πρώτη Ὥρα, Τρίτη Ὥρα, Ἕκτη Ὥρα, Ἐνάτη Ὥρα, Ἑσπερινός, Ἀπόδειπνο (μέγα ἢ μικρό).

Ὅπως εἶναι γνωστό, ὅλες αὐτὲς οἱ ἀκολουθίες περιέχονται στὸ Μέγα Ὡρολόγιο. Καὶ ἀνάλογα μὲ τὸ ἑορταστικὸ ἢ μὴ περιεχόμενο κάθε ἡμέρας, ὁ Ἑσπερινὸς καὶ ὁ Ὄρθρος παρουσιάζουν παραλλαγὲς καὶ συμπληρώνονται μὲ ὕμνους ἀπὸ ἄλλα λειτουργικὰ βιβλία: ἡ Παρακλητικὴ περιέχει τὴν ὑμνολογία κάθε ἡμέρας τῆς ἑβδομάδας στοὺς ὀκτὼ ἤχους, τὰ Μηναῖα τὶς ἀκίνητες ἑορτὲς γιὰ ὅλες τὶς ἡμέρες τοῦ ἔτους, τὸ Τριώδιο καὶ τὸ Πεντηκοστάριο τὶς κινητὲς ἑορτὲς τῶν ὁμωνύμων περιόδων. Καὶ ὁδηγὸς γιὰ τὴν τέλεση τῶν ἱερῶν ἀκολουθιῶν κατὰ τὶς διάφορες περιπτώσεις εἶναι τὸ Τυπικό.

Εἶναι φανερὸ ὅτι ἡ πλήρης τέλεση τῶν ἀκολουθιῶν ἀπαιτεῖ, ἐκτὸς ἀπὸ γνώσεις, καὶ πολλὰ βιβλία ποὺ δὲν μποροῦν πάντοτε νὰ ὑπάρχουν. Γι' αὐτὸ ἔχουν συνταχθεῖ διάφορα λειτουργικὰ βοηθήματα ("προσευχητάρια"), μικρὰ σὲ ὄγκο, ποὺ περιέχουν τὰ πιὸ ἀπαραίτητα στοιχεῖα, μὲ σκοπὸ ὄχι νὰ ὑποκαταστήσουν τὰ κανονικὰ λει-

τουργικὰ βιβλία, ἀλλὰ νὰ ἐξυπηρετήσουν στὴν ἀτομικὴ προσευχὴ καί, σὲ κάποιο βαθμό, στὴν παρακολούθηση τῶν ἀκολουθιῶν στὸν ναό.

*

Τέτοιο πρακτικὸ καὶ εὔχρηστο βοήθημα προσευχῆς εἶναι καὶ τὸ "Κατανυκτικὸν Προσευχητάριον", τὸ ὁποῖο συνέταξε ὁ θεοφόρος ἅγιος Νεκτάριος γιὰ τὰ πνευματικά του τέκνα καὶ ὅλους τοὺς εὐλαβεῖς Χριστιανούς. Ἐκδόθηκε τὸ 1904 «ἐν Ἀθήναις, ἐκ τοῦ τυπογραφείου Παρασκευᾶ Λεώνη».

Ὅπως μαρτυρεῖ ὁ τίτλος, στόχος τοῦ βιβλίου αὐτοῦ εἶναι ἡ καλλιέργεια τῆς κατανύξεως. Διότι ἡ κατάνυξη εἶναι τὸ στοιχεῖο ἐκεῖνο τῆς προσευχῆς, ποὺ ὁρίζει τὴν ποιότητά της. Καὶ σὲ συνδυασμὸ μὲ τὴν ταπείνωση παρηγορεῖ καὶ ἐνισχύει τὴν προσευχόμενη ψυχὴ καὶ προσελκύει τὴ χάρη τοῦ ἁγίου Πνεύματος.

Γιὰ τὸν ἰδιαίτερο αὐτὸ σκοπὸ τοῦ βιβλίου, ὁ ἱερὸς συντάκτης του, πέρα ἀπὸ ἕνα ἀπάνθισμα τῶν πιὸ ἀπαραίτητων ἀκολουθιῶν, πρόσθεσε σὲ αὐτὸ συλλογὴ κατανυκτικῶν προσευχῶν, τροπαρίων καὶ κανόνων.

Τὰ κατανυκτικὰ αὐτὰ τροπάρια ἔχουν ἐπιλεγεῖ ἀπὸ τὴν Παρακλητικὴ καὶ καλύπτουν τὶς ἀκολουθίες τῶν καθημερινῶν μιᾶς μόνο ἑβδομάδας. Μαζὶ μὲ τοὺς κατανυκτικοὺς κανόνες μποροῦν νὰ ὑποκαταστήσουν ἐν ἀνάγκη τὴν Παρακλητική.

*

Ἡ ὕλη τοῦ "Κατανυκτικοῦ Προσευχηταρίου" προσφέρεται τώρα σὲ βελτιωμένη καὶ συμπληρωμένη μορφή,



μὲ κατάλληλη διευθέτηση τῶν περιεχομένων του καὶ κάποιες προσθῆκες. Οἱ πιὸ σημαντικὲς εἶναι ἡ καταχώριση τῶν εὐχῶν τῆς τραπέζης, τῶν ἀκολουθιῶν τῆς Διακαινησίμου καί, κυρίως, τοῦ Μεγάλου Ἀποδείπνου, ποὺ εἶναι ἡ πιὸ κατανυκτικὴ ἀκολουθία καὶ ἔτσι κρίθηκε ἀπαραίτητη σὲ ἕνα τέτοιο βιβλίο.

Ἂς σημειωθεῖ ἀκόμη ὅτι ἡ ἀρχικὴ ἔκδοση περιελάμβανε σὲ μία ἑνότητα μὲ ἐπικεφαλίδα "Πρωινὴ προσευχὴ" τὴν προοιμιακὴ προσευχὴ μὲ ὁρισμένες εὐχὲς τοῦ Ὄρθρου καὶ τὰ κυριώτερα μέρη τοῦ Μεσονυκτικοῦ καὶ τοῦ Ὄρθρου.

Στὴν παροῦσα ἔκδοση προτιμήθηκε ἡ διαίρεση τῶν μερῶν αὐτῶν σὲ τρεῖς συνεχόμενες ἑνότητες μὲ σχετικὴ συμπλήρωσή τους καὶ ἡ μετάθεση τῶν εὐχῶν στὴν εἰδικὴ ἑνότητα τῶν κατανυκτικῶν εὐχῶν.

Ὅλα ὅσα περιέχει τώρα τὸ "Κατανυκτικὸν Προσευχητάριον" καὶ τὴ σειρά τους μπορεῖ νὰ τὰ δεῖ ἀναλυτικὰ ὁ ἀναγνώστης στὸν πίνακα περιεχομένων.

*

Ἔτσι βελτιωμένο τὸ "Κατανυκτικὸν Προσευχητάριον" παραδίδεται στοὺς φιλακόλουθους Χριστιανοὺς μὲ τὴν πεποίθηση ὅτι θὰ τοὺς βοηθήσει στὴν εὐκατάνυκτη προσευχή. Καὶ ἡ ἔκδοση αὐτὴ ἂς λογισθεῖ ὡς μιὰ μικρὴ ἔκφραση τιμῆς καὶ ἀγάπης πρὸς τὸν θαυματουργὸ ἅγιο Νεκτάριο, "τῶν Ὀρθοδόξων τὸ καύχημα".

Τὸ Περιβόλι τῆς Παναγίας




## ΠΡΟΟΙΜΙΑΚΗ ΠΡΟΣΕΥΧΗ

Ἀπὸ τοῦ ὕπνου ἐξεγερθείς, στῆθι μετ᾽ εὐλαβείας καὶ φόβου Θεοῦ καὶ εἰπέ·

Εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος. Ἀμήν.

Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Βασιλεῦ οὐράνιε, Παράκλητε, τὸ Πνεῦμα τῆς ἀληθείας, ὁ πανταχοῦ παρὼν καὶ τὰ πάντα πληρῶν, ὁ θησαυρὸς τῶν ἀγαθῶν καὶ ζωῆς χορηγός, ἐλθὲ καὶ σκήνωσον ἐν ἡμῖν, καὶ καθάρισον ἡμᾶς ἀπὸ πάσης κηλῖδος, καὶ σῶσον, ἀγαθέ, τὰς ψυχὰς ἡμῶν.

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς. (τρίς)

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Παναγία Τριάς, ἐλέησον ἡμᾶς. Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν. Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον· Κύριε, ἐλέησον· Κύριε, ἐλέησον.

Δόξα, καὶ νῦν.

Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου· ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τὸ θέλημά σου ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον· καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ τὰ παρόντα τριαδικὰ τροπάρια. Ἦχος α'

Ἐξεγερθέντες τοῦ ὕπνου, προσπίπτομέν σοι, ἀγαθέ, καὶ τῶν ἀγγέλων τὸν ὕμνον βοῶμέν σοι, δυνατέ· Ἅγιος, ἅγιος, ἅγιος εἶ ὁ Θεός· διὰ τῆς Θεοτόκου ἐλέησον ἡμᾶς.

Δόξα. Ἦχος β'.

Τῆς κλίνης καὶ τοῦ ὕπνου ἐξεγείρας με, Κύριε, τὸν νοῦν μου φώτισον, καὶ τὴν καρδίαν καὶ τὰ χείλη μου ἄνοιξον, εἰς τὸ ὑμνεῖν σε, ἁγία Τριάς· Ἅγιος, ἅγιος, ἅγιος εἶ ὁ Θεός· διὰ τῆς Θεοτόκου ἐλέησον ἡμᾶς.

Καὶ νῦν. Ἦχος γ'.

Ἀθρόον ὁ Κριτὴς ἐπελεύσεται, καὶ ἑκάστου αἱ πράξεις γυμνωθήσονται· ἀλλὰ φόβῳ κράξωμεν ἐν τῷ μέσῳ τῆς νυκτός· Ἅγιος, ἅγιος, ἅγιος εἶ ὁ Θεός· διὰ τῆς Θεοτόκου ἐλέησον ἡμᾶς.





Τὸ Κύριε, ἐλέησον ιβ' καὶ τὰς εὐχὰς ταύτας.

Εὐχὴ εὐχαριστήριος μεθ' ἱκεσίας.

Ἐκ τοῦ ὕπνου ἐξανιστάμενος εὐχαριστῶ σοι, ἁγία Τριάς, ὅτι διὰ τὴν πολλήν σου ἀγαθότητα καὶ μακροθυμίαν οὐκ ὠργίσθης ἐμοὶ τῷ ῥαθύμῳ καὶ ἁμαρτωλῷ, οὐδὲ συναπώλεσάς με ταῖς ἀνομίαις μου, ἀλλ' ἐφιλανθρωπεύσω συνήθως, καὶ πρὸς ἀπόγνωσιν κείμενον ἤγειράς με, εἰς τὸ ὀρθρίσαι καὶ δοξολογῆσαι τὸ κράτος σου. Καὶ νῦν φώτισόν μου τὰ ὄμματα τῆς διανοίας· ἄνοιξόν μου τὸ στόμα, τοῦ μελετᾶν τὰ λόγιά σου καὶ συνιέναι τὰς ἐντολάς σου καὶ ποιεῖν τὸ θέλημά σου καὶ ψάλλειν σοι ἐν ἐξομολογήσει καρδίας καὶ ἀνυμνεῖν τὸ πανάγιον ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ ἑτέρα.

Δόξα σοι, βασιλεῦ, Θεὲ παντοκράτορ, ὅτι τῇ θείᾳ σου καὶ φιλανθρώπῳ προνοίᾳ ἠξίωσάς με τὸν ἁμαρτωλὸν καὶ ἀνάξιον δοῦλόν σου ἐξ ὕπνου ἀναστῆναι καὶ τυχεῖν τῆς εἰσόδου τοῦ ἁγίου σου οἴκου. Δέξαι, Κύριε, καὶ τὴν φωνὴν τῆς δεήσεώς μου, ὡς τῶν ἁγίων καὶ νοερῶν σου δυνάμεων· καὶ εὐδόκησον, ἐν καρδίᾳ καθαρᾷ καὶ πνεύματι ταπεινώσεως, προσενεχθῆναί σοι τὴν ἐκ τῶν ῥυπαρῶν χειλέων μου αἴνεσιν, ὅπως κἀγὼ κοινωνὸς γένωμαι τῶν φρονίμων παρθένων, ἐν φαιδρᾷ λαμπηδόνι τῆς ψυχῆς μου, καὶ δοξάζω σέ, τὸν ἐν Πατρὶ καὶ Πνεύματι δοξαζόμενον Θεὸν Λόγον. Ἀμήν.

## ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΜΕΣΟΝΥΚΤΙΚΟΥ*

Τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν (σελ. 13-14). Κύριε, ἐλέησον ιβ΄. Δόξα, καὶ νῦν.

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν τῷ βασιλεῖ ἡμῶν Θεῷ.

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ τῷ βασιλεῖ ἡμῶν Θεῷ.

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ, Χριστῷ τῷ βασιλεῖ καὶ Θεῷ ἡμῶν.

### Ψαλμὸς ν΄ (50).

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου, καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διαπαντός.

---

*Παρατίθεται τὸ κυριώτερον μέρος τῆς ἀκολουθίας τοῦ καθ' ἡμέραν Μεσονυκτικοῦ. Τὴν πλήρη μορφήν, ὡς καὶ τὰς παραλλαγὰς αὐτοῦ διὰ τὸ Σάββατον καὶ τὴν Κυριακὴν βλ. εἰς τὸ Μέγα Ὡρολόγιον.





Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Εἶτα ὁ Ἄμωμος, ἤτοι ὁ Ψαλμὸς ριη´ (118).

Δόξα, καὶ νῦν.

Πιστεύω εἰς ἕνα Θεόν, Πατέρα, παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων.

Καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστόν, τὸν Υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ, τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων· φῶς ἐκ φωτός, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον τῷ Πατρί, δι' οὗ τὰ πάντα ἐγένετο.

Τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν καὶ σαρκωθέντα ἐκ Πνεύματος ἁγίου καὶ Μαρίας τῆς Παρθένου καὶ ἐνανθρωπήσαντα.

Σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου καὶ παθόντα καὶ ταφέντα.

Καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς Γραφάς.





Καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ Πατρός.

Καὶ πάλιν ἐρχόμενον μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκρούς, οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος.

Καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, τὸ κύριον, τὸ ζωοποιόν, τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, τὸ σὺν Πατρὶ καὶ Υἱῷ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον, τὸ λαλῆσαν διὰ τῶν προφητῶν.

Εἰς μίαν, ἁγίαν, καθολικὴν καὶ ἀποστολικὴν Ἐκκλησίαν.

Ὁμολογῶ ἓν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν.

Προσδοκῶ ἀνάστασιν νεκρῶν.

Καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος. Ἀμήν.

Τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν (σελ. 13-14). Εἶτα τὰ τροπάρια ταῦτα.

Ἦχος πλ. δ´.

Ἰδοὺ ὁ Νυμφίος ἔρχεται, ἐν τῷ μέσῳ τῆς νυκτός· καὶ μακάριος ὁ δοῦλος, ὃν εὑρήσει γρηγοροῦντα· ἀνάξιος δὲ πάλιν, ὃν εὑρήσει ῥᾳθυμοῦντα. Βλέπε οὖν, ψυχή μου, μὴ τῷ ὕπνῳ κατενεχθῇς, ἵνα μὴ τῷ θανάτῳ παραδοθῇς, καὶ τῆς βασιλείας ἔξω κλεισθῇς· ἀλλὰ ἀνάνηψον κράζουσα· Ἅγιος, ἅγιος, ἅγιος εἶ ὁ Θεός· διὰ τῆς Θεοτόκου ἐλέησον ἡμᾶς.

Δόξα. Τὴν Σοφίαν καὶ Λόγον.

Τὴν ἡμέραν ἐκείνην τὴν φοβεράν, ἐννοοῦσα, ψυχή μου, γρηγόρησον, ἀνάπτουσα λαμπάδα σου, ἐν ἐ-

λαίῳ φαιδρύνουσα· οὐ γὰρ οἶδας πότε, πρὸς σὲ ἐπελεύσεται, ἡ φωνὴ ἡ λέγουσα· Ἰδοὺ ὁ Νυμφίος σου. Βλέπε οὖν, ψυχή μου, μὴ νυστάξῃς καὶ μείνῃς, ἔξωθεν κρούουσα, ὡς αἱ πέντε παρθένοι· ἀλλ' ἀγρύπνως καρτέρησον, ἵνα ὑπαντήσῃς Χριστῷ τῷ Θεῷ, ἐν ἐλαίῳ πίονι, καὶ δῴη σοι τὸν νυμφῶνα τὸν θεῖον, τῆς δόξης αὐτοῦ.

Καὶ νῦν. Θεοτοκίον.

Σὲ τὸ ἀπόρθητον τεῖχος, τὸ τῆς σωτηρίας ὀχύρωμα, Θεοτόκε Παρθένε, ἱκετεύομεν· τὰς τῶν ἐναντίων βουλὰς διασκέδασον· τοῦ λαοῦ σου τὴν λύπην εἰς χαρὰν μετάβαλε· τὸν κόσμον σου ἀνακάλεσον· τοὺς εὐσεβεῖς κραταίωσον· ὑπὲρ εἰρήνης τοῦ κόσμου πρέσβευε, ὅτι σὺ εἶ, Θεοτόκε, ἡ ἐλπὶς ἡμῶν.

Εἶτα τὸ Κύριε, ἐλέησον μ΄ καὶ τὴν εὐχὴν ταύτην.

Ὁ ἐν παντὶ καιρῷ καὶ πάσῃ ὥρᾳ ἐν οὐρανῷ καὶ ἐπὶ γῆς προσκυνούμενος καὶ δοξαζόμενος Χριστὸς ὁ Θεός, ὁ μακρόθυμος, ὁ πολυέλεος, ὁ πολυεύσπλαγχνος, ὁ τοὺς δικαίους ἀγαπῶν καὶ τοὺς ἁμαρτωλοὺς ἐλεῶν, ὁ πάντας καλῶν πρὸς σωτηρίαν διὰ τῆς ἐπαγγελίας τῶν μελλόντων ἀγαθῶν· αὐτός, Κύριε, πρόσδεξαι καὶ ἡμῶν ἐν τῇ ὥρᾳ ταύτῃ τὰς ἐντεύξεις καὶ ἴθυνον τὴν ζωὴν ἡμῶν πρὸς τὰς ἐντολάς σου. Τὰς ψυχὰς ἡμῶν ἁγίασον, τὰ σώματα ἅγνισον, τοὺς λογισμοὺς διόρθωσον, τὰς ἐννοίας κάθαρον καὶ ῥῦσαι ἡμᾶς ἀπὸ πάσης θλίψεως, κακῶν καὶ ὀδύνης. Τείχισον ἡμᾶς ἁγίοις σου





ἀγγέλοις, ἵνα τῇ παρεμβολῇ αὐτῶν φρουρούμενοι καὶ ὁδηγούμενοι καταντήσωμεν εἰς τὴν ἑνότητα τῆς πίστεως καὶ εἰς τὴν ἐπίγνωσιν τῆς ἀπροσίτου σου δόξης· ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Κύριε, ἐλέησον γ΄. Δόξα, καὶ νῦν.

Τὴν τιμιωτέραν τῶν Χερουβίμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφίμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον σὲ μεγαλύνομεν.

Εὐχὴ τοῦ ἁγίου Ἐφραίμ,
λεγομένη κατὰ τὴν Μ. Τεσσαρακοστήν.

Κύριε καὶ δέσποτα τῆς ζωῆς μου, πνεῦμα ἀργίας, περιεργείας, φιλαρχίας καὶ ἀργολογίας μή μοι δῷς.

Πνεῦμα δὲ σωφροσύνης, ταπεινοφροσύνης, ὑπομονῆς καὶ ἀγάπης χάρισαί μοι τῷ σῷ δούλῳ.

Ναί, Κύριε βασιλεῦ, δώρησαί μοι τοῦ ὁρᾶν τὰ ἐμὰ πταίσματα καὶ μὴ κατακρίνειν τὸν ἀδελφόν μου· ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ τοῦ ἁγίου Μαρδαρίου.

Δέσποτα Θεέ, Πάτερ παντοκράτορ, Κύριε Υἱὲ μονογενὲς Ἰησοῦ Χριστὲ καὶ ἅγιον Πνεῦμα, μία θεότης, μία δύναμις, ἐλέησόν με τὸν ἁμαρτωλόν, καὶ οἷς ἐπίστασαι κρίμασι σῶσόν με τὸν ἀνάξιον δοῦλόν σου· ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ Βασιλείου τοῦ Μεγάλου, λεγομένη ἀπὸ 22 Σεπτεμβρίου μέχρι τῆς Παρασκευῆς πρὸ τῶν Βαΐων.

Κύριε παντοκράτορ, ὁ Θεὸς τῶν δυνάμεων καὶ πάσης σαρκός, ὁ ἐν ὑψηλοῖς κατοικῶν καὶ τὰ ταπεινὰ ἐφορῶν, καρδίας τε καὶ νεφροὺς ὁ ἐτάζων καὶ τὰ κρυπτὰ τῶν ἀνθρώπων σαφῶς ἐπιστάμενος· τὸ ἄναρχον καὶ ἀΐδιον φῶς, παρ' ᾧ οὐκ ἔστι παραλλαγὴ ἢ τροπῆς ἀποσκίασμα· αὐτός, ἀθάνατε βασιλεῦ, πρόσδεξαι τὰς ἱκεσίας ἡμῶν, ἃς κατὰ τὸν παρόντα καιρὸν τῆς νυκτός, τῷ πλήθει τῶν σῶν οἰκτιρμῶν θαρροῦντες, ἐκ ῥυπαρῶν πρὸς σὲ χειλέων ποιούμεθα, καὶ ἄφες ἡμῖν τὰ πλημμελήματα ἡμῶν, τὰ ἐν ἔργῳ καὶ λόγῳ καὶ διανοίᾳ, ἐκ γνώσεως ἢ ἀγνωσίας πλημμεληθέντα ἡμῖν, καὶ καθάρισον ἡμᾶς ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, ναοὺς ἡμᾶς ποιῶν τοῦ ἁγίου σου Πνεύματος. Καὶ δώρησαι ἡμῖν ἐν ἀγρύπνῳ καρδίᾳ καὶ νηφούσῃ διανοίᾳ πᾶσαν τοῦ παρόντος βίου τὴν νύκτα ἡμᾶς διελθεῖν, ἀπεκδεχομένους τὴν παρουσίαν τῆς λαμπρᾶς καὶ ἐπιφανοῦς ἡμέρας τοῦ μονογενοῦς σου Υἱοῦ, τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐν ᾗ μετὰ δόξης ἐπὶ τῆς γῆς κριτὴς τῶν πάντων ἐλεύσεται, ἑκάστῳ ἀποδοῦναι κατὰ τὰ ἔργα αὐτοῦ· ἵνα μὴ ἀναπεπτωκότες καὶ ὑπνοῦντες ἀλλ' ἐγρηγοροῦντες καὶ διεγηγερμένοι ἐν τῇ ἐργασίᾳ τῶν ἐντολῶν αὐτοῦ εὑρεθῶμεν, καὶ ἕτοιμοι εἰς τὴν χαρὰν καὶ εἰς τὸν θεῖον νυμφῶνα τῆς δόξης αὐτοῦ συνεισέλθωμεν, ἔνθα ὁ τῶν ἑορταζόντων ἦχος ὁ ἀκατάπαυστος καὶ ἡ ἀνέκφραστος ἡδονὴ τῶν





καθορώντων τοῦ σοῦ προσώπου τὸ κάλλος τὸ ἄρρητον. Σὺ γὰρ εἶ τὸ ἀληθινὸν φῶς τὸ φωτίζον καὶ ἁγιάζον τὰ σύμπαντα, καὶ σὲ ὑμνεῖ πᾶσα ἡ κτίσις εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ τοῦ αὐτοῦ.

Σὲ εὐλογοῦμεν, ὕψιστε Θεὲ καὶ Κύριε τοῦ ἐλέους, τὸν ποιοῦντα ἀεὶ μεθ' ἡμῶν μεγάλα τε καὶ ἀνεξιχνίαστα, ἔνδοξά τε καὶ ἐξαίσια, ὧν οὐκ ἔστιν ἀριθμός· τὸν παρασχόντα ἡμῖν τὸν ὕπνον εἰς ἀνάπαυσιν τῆς ἀσθενείας ἡμῶν καὶ ἄνεσιν τῶν κόπων τῆς πολυμόχθου σαρκός. Εὐχαριστοῦμέν σοι, ὅτι οὐ συναπώλεσας ἡμᾶς ταῖς ἀνομίαις ἡμῶν, ἀλλ' ἐφιλανθρωπεύσω συνήθως καὶ πρὸς ἀπόγνωσιν κειμένους ἡμᾶς ἤγειρας εἰς τὸ ὀρθρίσαι καὶ δοξολογῆσαι τὸ κράτος σου. Διὸ δυσωποῦμεν τὴν ἀνείκαστόν σου ἀγαθότητα, φώτισον ἡμῶν τοὺς τῆς διανοίας ὀφθαλμούς, καὶ τὸν νοῦν ἡμῶν ἐκ τοῦ βαρέος ὕπνου τῆς ῥαθυμίας ἀνάστησον· ἄνοιξον ἡμῶν τὸ στόμα καὶ πλήρωσον αὐτὸ τῆς σῆς αἰνέσεως, ὅπως ἂν δυνηθῶμεν ἀπερισπάστως ᾄδειν τε καὶ ψάλλειν καὶ ἐξομολογεῖσθαι σοὶ τῷ ἐν πᾶσι καὶ ὑπὸ πάντων δοξαζομένῳ Θεῷ, τῷ ἀνάρχῳ Πατρί, σὺν τῷ μονογενεῖ σου Υἱῷ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ τοῦ ἁγίου Εὐστρατίου, λεγομένη τὸ Σάββατον.

Μεγαλύνων μεγαλύνω σε, Κύριε, ὅτι ἐπεῖδες ἐπὶ τὴν ταπείνωσίν μου καὶ οὐ συνέκλεισάς με εἰς χεῖρας ἐχθρῶν, ἀλλ' ἔσωσας ἐκ τῶν ἀναγκῶν τὴν ψυχήν μου. Καὶ νῦν, Δέσποτα, σκεπασάτω με ἡ χείρ σου, καὶ ἔλθοι ἐπ' ἐμὲ τὸ ἔλεός σου, ὅτι τετάρακται ἡ ψυχή μου καὶ κατώδυνός ἐστιν ἐν τῷ ἐκπορεύεσθαι αὐτὴν ἐκ τοῦ ἀθλίου μου καὶ ῥυπαροῦ σώματος τούτου· μήποτε ἡ πονηρὰ τοῦ ἀντικειμένου βουλὴ συναντήσῃ καὶ παρεμποδίσῃ αὐτὴν διὰ τὰς ἐν ἀγνοίᾳ καὶ γνώσει ἐν τῷ βίῳ τούτῳ γενομένας μοι ἁμαρτίας. Ἵλεως γενοῦ μοι, Δέσποτα, καὶ μὴ ἰδέτω ἡ ψυχή μου τὴν ζοφερὰν καὶ σκοτεινὴν ὄψιν τῶν πονηρῶν δαιμόνων, ἀλλὰ παραλαβέτωσαν αὐτὴν ἄγγελοί σου φαιδροὶ καὶ φωτεινοί. Δὸς δόξαν τῷ ὀνόματί σου τῷ ἁγίῳ, καὶ τῇ σῇ δυνάμει ἀνάγαγέ με εἰς τὸ θεῖόν σου βῆμα. Ἐν τῷ κρίνεσθαί με μὴ καταλάβοι με ἡ χεὶρ τοῦ ἄρχοντος τοῦ κόσμου τούτου εἰς τὸ κατασπάσαι με τὸν ἁμαρτωλὸν εἰς βυθὸν ᾅδου, ἀλλὰ παράστηθί μοι καὶ γενοῦ μοι σωτὴρ καὶ ἀντιλήπτωρ. Ἐλέησον, Κύριε, τὴν ῥυπωθεῖσαν τοῖς πάθεσι τοῦ βίου ψυχήν μου καὶ καθαρὰν αὐτὴν διὰ μετανοίας καὶ ἐξομολογήσεως πρόσδεξαι, ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.



# ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΟΡΘΡΟΥ*

Μετὰ τὸν Εὐλογητὸν τοὺς Ψαλμοὺς κ´ καὶ κα´ (20 καὶ 21). Εἶτα τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν (σελ. 13-14). Καὶ τὰ ἑφεξῆς τροπάρια.

Σῶσον Κύριε τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου, νίκας τοῖς βασιλεῦσι, κατὰ βαρβάρων δωρούμενος, καὶ τὸ σὸν φυλάττων, διὰ τοῦ σταυροῦ σου πολίτευμα.

Δόξα.

Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ ἑκουσίως, τῇ ἐπωνύμῳ σου καινῇ πολιτείᾳ, τοὺς οἰκτιρμούς σου δώρησαι, Χριστὲ ὁ Θεός· εὔφρανον ἐν τῇ δυνάμει σου, τοὺς πιστοὺς βασιλεῖς ἡμῶν, νίκας χορηγῶν αὐτοῖς, κατὰ τῶν πολεμίων· τὴν συμμαχίαν ἔχοιεν τὴν σήν, ὅπλον εἰρήνης, ἀήττητον τρόπαιον.

Καὶ νῦν. Θεοτοκίον.

Προστασία φοβερὰ καὶ ἀκαταίσχυντε, μὴ παρίδῃς ἀγαθὴ τὰς ἱκεσίας ἡμῶν, πανύμνητε Θεοτόκε·

*Αἱ ἀκολουθίαι τοῦ Ὄρθρου καὶ τοῦ Ἑσπερινοῦ συμπληροῦνται διὰ τροπαρίων καὶ ὕμνων, ἐπιλογὴν τῶν ὁποίων δι' ἑκάστην ἡμέραν τῆς ἑβδομάδος βλ. εἰς σελ. 103-149.

στήριξον ὀρθοδόξων πολιτείαν· σῷζε οὓς ἐκέλευσας βασιλεύειν, καὶ χορήγει αὐτοῖς οὐρανόθεν τὴν νίκην· διότι ἔτεκες τὸν Θεόν, μόνη εὐλογημένη.

Ὁ ἑξάψαλμος.

Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία. (τρίς)

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου. (δίς)

Ψαλμὸς γ' (3).

Κύριε, τί ἐπληθύνθησαν οἱ θλίβοντές με; πολλοὶ ἐπανίστανται ἐπ' ἐμέ.

Πολλοὶ λέγουσι τῇ ψυχῇ μου· Οὐκ ἔστι σωτηρία αὐτῷ ἐν τῷ Θεῷ αὐτοῦ.

Σὺ δέ, Κύριε, ἀντιλήπτωρ μου εἶ, δόξα μου καὶ ὑψῶν τὴν κεφαλήν μου.

Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα, καὶ ἐπήκουσέ μου ἐξ ὄρους ἁγίου αὐτοῦ.

Ἐγὼ δὲ ἐκοιμήθην καὶ ὕπνωσα· ἐξηγέρθην, ὅτι Κύριος ἀντιλήψεταί μου.

Οὐ φοβηθήσομαι ἀπὸ μυριάδων λαοῦ τῶν κύκλῳ συνεπιτιθεμένων μοι.

Ἀνάστα, Κύριε, σῶσόν με, ὁ Θεός μου· ὅτι σὺ ἐπάταξας πάντας τοὺς ἐχθραίνοντάς μοι ματαίως, ὀδόντας ἁμαρτωλῶν συνέτριψας.

Τοῦ Κυρίου ἡ σωτηρία, καὶ ἐπὶ τὸν λαόν σου ἡ εὐλογία σου.





Καὶ πάλιν.

Ἐγὼ ἐκοιμήθην καὶ ὕπνωσα· ἐξηγέρθην, ὅτι Κύριος ἀντιλήψεταί μου.

Ψαλμὸς λζ' (37).

Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με.

Ὅτι τὰ βέλη σου ἐνεπάγησάν μοι, καὶ ἐπεστήριξας ἐπ' ἐμὲ τὴν χεῖρά σου.

Οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου ἀπὸ προσώπου τῆς ὀργῆς σου· οὐκ ἔστιν εἰρήνη ἐν τοῖς ὀστέοις μου ἀπὸ προσώπου τῶν ἁμαρτιῶν μου.

Ὅτι αἱ ἀνομίαι μου ὑπερῆραν τὴν κεφαλήν μου, ὡσεὶ φορτίον βαρὺ ἐβαρύνθησαν ἐπ' ἐμέ.

Προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου ἀπὸ προσώπου τῆς ἀφροσύνης μου.

Ἐταλαιπώρησα καὶ κατεκάμφθην ἕως τέλους, ὅλην τὴν ἡμέραν σκυθρωπάζων ἐπορευόμην.

Ὅτι αἱ ψόαι μου ἐπλήσθησαν ἐμπαιγμάτων, καὶ οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου.

Ἐκακώθην καὶ ἐταπεινώθην ἕως σφόδρα, ὠρυόμην ἀπὸ στεναγμοῦ τῆς καρδίας μου.

Κύριε, ἐναντίον σου πᾶσα ἡ ἐπιθυμία μου, καὶ ὁ στεναγμός μου ἀπὸ σοῦ οὐκ ἀπεκρύβη.

Ἡ καρδία μου ἐταράχθη, ἐγκατέλιπέ με ἡ ἰσχύς μου, καὶ τὸ φῶς τῶν ὀφθαλμῶν μου καὶ αὐτὸ οὐκ ἔστι μετ' ἐμοῦ.

Οἱ φίλοι μου καὶ οἱ πλησίον μου ἐξ ἐναντίας μου ἤγγισαν καὶ ἔστησαν, καὶ οἱ ἔγγιστά μου ἀπὸ μακρόθεν ἔστησαν.

Καὶ ἐξεβιάζοντο οἱ ζητοῦντες τὴν ψυχήν μου, καὶ οἱ ζητοῦντες τὰ κακά μοι ἐλάλησαν ματαιότητας, καὶ δολιότητας ὅλην τὴν ἡμέραν ἐμελέτησαν.

Ἐγὼ δὲ ὡσεὶ κωφὸς οὐκ ἤκουον, καὶ ὡσεὶ ἄλαλος οὐκ ἀνοίγων τὸ στόμα αὐτοῦ.

Καὶ ἐγενόμην ὡσεὶ ἄνθρωπος οὐκ ἀκούων καὶ οὐκ ἔχων ἐν τῷ στόματι αὐτοῦ ἐλεγμούς.

Ὅτι ἐπὶ σοί, Κύριε, ἤλπισα· σὺ εἰσακούσῃ, Κύριε ὁ Θεός μου.

Ὅτι εἶπον· Μήποτε ἐπιχαρῶσί μοι οἱ ἐχθροί μου, καὶ ἐν τῷ σαλευθῆναι πόδας μου ἐπ' ἐμὲ ἐμεγαλορρημόνησαν.

Ὅτι ἐγὼ εἰς μάστιγας ἕτοιμος, καὶ ἡ ἀλγηδών μου ἐνώπιόν μού ἐστι διαπαντός.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ ἀναγγελῶ, καὶ μεριμνήσω ὑπὲρ τῆς ἁμαρτίας μου.

Οἱ δὲ ἐχθροί μου ζῶσι καὶ κεκραταίωνται ὑπὲρ ἐμέ, καὶ ἐπληθύνθησαν οἱ μισοῦντές με ἀδίκως.

Οἱ ἀνταποδιδόντες μοι κακὰ ἀντὶ ἀγαθῶν ἐνδιέβαλλόν με, ἐπεὶ κατεδίωκον ἀγαθωσύνην.

Μὴ ἐγκαταλίπῃς με, Κύριε ὁ Θεός μου, μὴ ἀποστῇς ἀπ' ἐμοῦ.

Πρόσχες εἰς τὴν βοήθειάν μου, Κύριε τῆς σωτηρίας μου.





Καὶ πάλιν.

Μὴ ἐγκαταλίπῃς με, Κύριε ὁ Θεός μου, μὴ ἀποστῇς ἀπ' ἐμοῦ.

Πρόσχες εἰς τὴν βοήθειάν μου, Κύριε τῆς σωτηρίας μου.

### Ψαλμὸς ξβ' (62).

Ὁ Θεός, ὁ Θεός μου, πρὸς σὲ ὀρθρίζω.

Ἐδίψησέ σε ἡ ψυχή μου, ποσαπλῶς σοι ἡ σάρξ μου, ἐν γῇ ἐρήμῳ καὶ ἀβάτῳ καὶ ἀνύδρῳ.

Οὕτως ἐν τῷ ἁγίῳ ὤφθην σοι, τοῦ ἰδεῖν τὴν δύναμίν σου καὶ τὴν δόξαν σου.

Ὅτι κρεῖσσον τὸ ἔλεός σου ὑπὲρ ζωάς, τὰ χείλη μου ἐπαινέσουσί σε.

Οὕτως εὐλογήσω σε ἐν τῇ ζωῇ μου, καὶ ἐν τῷ ὀνόματί σου ἀρῶ τὰς χεῖράς μου.

Ὡς ἐκ στέατος καὶ πιότητος ἐμπλησθείη ἡ ψυχή μου, καὶ χείλη ἀγαλλιάσεως αἰνέσει τὸ στόμα μου.

Εἰ ἐμνημόνευόν σου ἐπὶ τῆς στρωμνῆς μου, ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς σέ.

Ὅτι ἐγενήθης βοηθός μου, καὶ ἐν τῇ σκέπῃ τῶν πτερύγων σου ἀγαλλιάσομαι.

Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου, ἐμοῦ δὲ ἀντελάβετο ἡ δεξιά σου.

Αὐτοὶ δὲ εἰς μάτην ἐζήτησαν τὴν ψυχήν μου, εἰσελεύσονται εἰς τὰ κατώτατα τῆς γῆς, παραδοθήσονται εἰς χεῖρας ῥομφαίας, μερίδες ἀλωπέκων ἔσονται.

Ὁ δὲ βασιλεὺς εὐφρανθήσεται ἐπὶ τῷ Θεῷ, ἐπαινεθήσεται πᾶς ὁ ὀμνύων ἐν αὐτῷ, ὅτι ἐνεφράγη στόμα λαλούντων ἄδικα.

Καὶ πάλιν.

Ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς σέ, ὅτι ἐγενήθης βοηθός μου, καὶ ἐν τῇ σκέπῃ τῶν πτερύγων σου ἀγαλλιάσομαι.

Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου, ἐμοῦ δὲ ἀντελάβετο ἡ δεξιά σου.

Δόξα, καὶ νῦν.

Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα, δόξα σοι, ὁ Θεός γ΄.

Κύριε, ἐλέησον γ΄. Δόξα, καὶ νῦν.

Ψαλμὸς πζ΄ (87).

Κύριε, ὁ Θεὸς τῆς σωτηρίας μου, ἡμέρας ἐκέκραξα καὶ ἐν νυκτὶ ἐναντίον σου.

Εἰσελθέτω ἐνώπιόν σου ἡ προσευχή μου, κλῖνον τὸ οὖς σου εἰς τὴν δέησίν μου.

Ὅτι ἐπλήσθη κακῶν ἡ ψυχή μου, καὶ ἡ ζωή μου τῷ ᾅδη ἤγγισε.

Προσελογίσθην μετὰ τῶν καταβαινόντων εἰς λάκκον, ἐγενήθην ὡσεὶ ἄνθρωπος ἀβοήθητος, ἐν νεκροῖς ἐλεύθερος.

Ὡσεὶ τραυματίαι καθεύδοντες ἐν τάφῳ, ὧν οὐκ ἐμνήσθης ἔτι, καὶ αὐτοὶ ἐκ τῆς χειρός σου ἀπώσθησαν.

Ἔθεντό με ἐν λάκκῳ κατωτάτῳ, ἐν σκοτεινοῖς καὶ ἐν σκιᾷ θανάτου.





Ἐπ' ἐμὲ ἐπεστηρίχθη ὁ θυμός σου, καὶ πάντας τοὺς μετεωρισμούς σου ἐπήγαγες ἐπ' ἐμέ.

Ἐμάκρυνας τοὺς γνωστούς μου ἀπ' ἐμοῦ, ἔθεντό με βδέλυγμα ἑαυτοῖς.

Παρεδόθην καὶ οὐκ ἐξεπορευόμην, οἱ ὀφθαλμοί μου ἠσθένησαν ἀπὸ πτωχείας.

Ἐκέκραξα πρὸς σέ, Κύριε, ὅλην τὴν ἡμέραν διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου.

Μὴ τοῖς νεκροῖς ποιήσεις θαυμάσια; ἢ ἰατροὶ ἀναστήσουσι καὶ ἐξομολογήσονταί σοι;

Μὴ διηγήσεταί τις ἐν τῷ τάφῳ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου ἐν τῇ ἀπωλείᾳ;

Μὴ γνωσθήσεται ἐν τῷ σκότει τὰ θαυμάσιά σου, καὶ ἡ δικαιοσύνη σου ἐν γῇ ἐπιλελησμένῃ;

Κἀγὼ πρὸς σέ, Κύριε, ἐκέκραξα, καὶ τὸ πρωῒ ἡ προσευχή μου προφθάσει σε.

Ἱνατί, Κύριε, ἀπωθῇ τὴν ψυχήν μου, ἀποστρέφεις τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ;

Πτωχός εἰμι ἐγὼ καὶ ἐν κόποις ἐκ νεότητός μου· ὑψωθεὶς δὲ ἐταπεινώθην καὶ ἐξηπορήθην.

Ἐπ' ἐμὲ διῆλθον αἱ ὀργαί σου, οἱ φοβερισμοί σου ἐξετάραξάν με.

Ἐκύκλωσάν με ὡσεὶ ὕδωρ, ὅλην τὴν ἡμέραν περιέσχον με ἅμα.

Ἐμάκρυνας ἀπ' ἐμοῦ φίλον καὶ πλησίον, καὶ τοὺς γνωστούς μου ἀπὸ ταλαιπωρίας.

Καὶ πάλιν.

Κύριε, ὁ Θεὸς τῆς σωτηρίας μου, ἡμέρας ἐκέκραξα καὶ ἐν νυκτὶ ἐναντίον σου.

Εἰσελθέτω ἐνώπιόν σου ἡ προσευχή μου, κλῖνον τὸ οὖς σου εἰς τὴν δέησίν μου.

Ψαλμὸς ρβ΄ (102).

Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καί, πάντα τὰ ἐντός μου, τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.

Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ.

Τὸν εὐϊλατεύοντα πάσας τὰς ἀνομίας σου, τὸν ἰώμενον πάσας τὰς νόσους σου.

Τὸν λυτρούμενον ἐκ φθορᾶς τὴν ζωήν σου, τὸν στεφανοῦντά σε ἐν ἐλέει καὶ οἰκτιρμοῖς.

Τὸν ἐμπιπλῶντα ἐν ἀγαθοῖς τὴν ἐπιθυμίαν σου, ἀνακαινισθήσεται ὡς ἀετοῦ ἡ νεότης σου.

Ποιῶν ἐλεημοσύνας ὁ Κύριος, καὶ κρῖμα πᾶσι τοῖς ἀδικουμένοις.

Ἐγνώρισε τὰς ὁδοὺς αὐτοῦ τῷ Μωυσεῖ, τοῖς υἱοῖς Ἰσραὴλ τὰ θελήματα αὐτοῦ.

Οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος, μακρόθυμος καὶ πολυέλεος· οὐκ εἰς τέλος ὀργισθήσεται, οὐδὲ εἰς τὸν αἰῶνα μηνιεῖ.

Οὐ κατὰ τὰς ἀνομίας ἡμῶν ἐποίησεν ἡμῖν, οὐδὲ κατὰ τὰς ἁμαρτίας ἡμῶν ἀνταπέδωκεν ἡμῖν.





Ὅτι κατὰ τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τῆς γῆς ἐκραταίωσε Κύριος τὸ ἔλεος αὐτοῦ ἐπὶ τοὺς φοβουμένους αὐτόν.

Καθ᾿ ὅσον ἀπέχουσιν ἀνατολαὶ ἀπὸ δυσμῶν, ἐμάκρυνεν ἀφ᾿ ἡμῶν τὰς ἀνομίας ἡμῶν.

Καθὼς οἰκτείρει πατὴρ υἱούς, ᾠκτείρησε Κύριος τοὺς φοβουμένους αὐτόν· ὅτι αὐτὸς ἔγνω τὸ πλάσμα ἡμῶν, ἐμνήσθη ὅτι χοῦς ἐσμεν.

Ἄνθρωπος, ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ, ὡσεὶ ἄνθος τοῦ ἀγροῦ, οὕτως ἐξανθήσει.

Ὅτι πνεῦμα διῆλθεν ἐν αὐτῷ, καὶ οὐχ ὑπάρξει, καὶ οὐκ ἐπιγνώσεται ἔτι τὸν τόπον αὐτοῦ.

Τὸ δὲ ἔλεος τοῦ Κυρίου ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος ἐπὶ τοὺς φοβουμένους αὐτόν.

Καὶ ἡ δικαιοσύνη αὐτοῦ ἐπὶ υἱοῖς υἱῶν τοῖς φυλάσσουσι τὴν διαθήκην αὐτοῦ καὶ μεμνημένοις τῶν ἐντολῶν αὐτοῦ τοῦ ποιῆσαι αὐτάς.

Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ, καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει.

Εὐλογεῖτε τὸν Κύριον πάντες οἱ ἄγγελοι αὐτοῦ, δυνατοὶ ἰσχύϊ ποιοῦντες τὸν λόγον αὐτοῦ, τοῦ ἀκοῦσαι τῆς φωνῆς τῶν λόγων αὐτοῦ.

Εὐλογεῖτε τὸν Κύριον πᾶσαι αἱ δυνάμεις αὐτοῦ, λειτουργοὶ αὐτοῦ, οἱ ποιοῦντες τὸ θέλημα αὐτοῦ.

Εὐλογεῖτε τὸν Κύριον πάντα τὰ ἔργα αὐτοῦ, ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ· εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

Καὶ πάλιν.

Ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ, εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

Ψαλμὸς ρμβ' (142).

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου.

Καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.

Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου.

Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος, καὶ ἠκηδίασεν ἐπ' ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.

Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων.

Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι.

Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα.

Γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου.





Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς σὲ κατέφυγον· δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Τὸ πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ· ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με.

Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου, καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου, καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σού εἰμι.

Καὶ πάλιν.

Εἰσάκουσόν μου, Κύριε, ἐν τῇ δικαιοσύνῃ σου, καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου. (δίς)

Εἶτα.

Τὸ πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ.

Δόξα, καὶ νῦν.

Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα, δόξα σοι, ὁ Θεὸς γ'.

Ἡ ἐλπὶς ἡμῶν, Κύριε, δόξα σοι.

Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου (κατὰ τὸν ἦχον τοῦ τῆς ἡμέρας τροπαρίου· τετράκις μετὰ τῶν ἑξῆς στίχων).

Στίχ. α'. Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Στίχ. β'. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

Στίχ. γ'. Παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.

Εἶτα τὸ ἀπολυτίκιον τῆς ἑορτῆς ἢ τῆς ἡμέρας μετὰ τοῦ θεοτοκίου*.

Ἐν συνεχείᾳ στιχολογοῦνται τὰ ἐνδιάτακτα καθίσματα τοῦ Ψαλτηρίου καὶ ψάλλονται τὰ ἀντίστοιχα καθίσματα (σελ. 106 κ.ἑ.). Μετὰ ταῦτα ὁ ν΄ Ψαλμὸς Ἐλέησόν με, ὁ Θεός (σελ. 16) καὶ ὁ κατανυκτικὸς κανὼν (σελ. 150-173). Μετὰ δὲ τὴν η΄ ᾠδὴν αὐτοῦ ψάλλεται ἡ

Ὠδὴ τῆς Θεοτόκου (Λουκ. α΄ 46-55).

Τὸν Υἱὸν ὑμνεῖ καὶ Θεὸν μήτηρ κόρη.
Τὴν Θεοτόκον ἐν ὕμνοις μεγαλύνωμεν.

Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου.

Τὴν τιμιωτέραν τῶν Χερουβὶμ... ἐν ἑκάστῳ στίχῳ.

Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ· ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί.

Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ Δυνατός, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ, καὶ τὸ ἔλεος αὐτοῦ εἰς γενεὰν καὶ γενεὰν τοῖς φοβουμένοις αὐτόν.

---

*Κατὰ τὰς καθημερινὰς τῆς Μεγάλης Τεσσαρακοστῆς ἀντὶ τοῦ Θεὸς Κύριος καὶ τῶν ἀπολυτικίων ψάλλεται Ἀλληλούϊα εἰς τὸν ἦχον τῆς ἑβδομάδος ὡς ἑξῆς:

Στίχ. α΄. Ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμά μου πρὸς σέ, ὁ Θεός, διότι φῶς τὰ προστάγματά σου ἐπὶ τῆς γῆς.

Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.

Στίχ. β΄. Δικαιοσύνην μάθετε οἱ ἐνοικοῦντες ἐπὶ τῆς γῆς.

Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.





Ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ, διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν.

Καθεῖλε δυνάστας ἀπὸ θρόνων καὶ ὕψωσε ταπεινούς· πεινῶντας ἐνέπλησεν ἀγαθῶν καὶ πλουτοῦντας ἐξαπέστειλε κενούς.

Ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ, μνησθῆναι ἐλέους, καθὼς ἐλάλησε πρὸς τοὺς πατέρας ἡμῶν, τῷ Ἀβραὰμ καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος.

Εἶτα ψάλλομεν τὴν θ΄ ᾠδὴν τοῦ κανόνος καὶ τὸ Ἄξιόν ἐστιν. Ἀκολούθως τὸ ἐξαποστειλάριον τῆς ἡμέρας.

Οἱ Αἶνοι.

Ψαλμὸς ρμη΄ (148).

Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν, αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις· σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Αἰνεῖτε αὐτόν, πάντες οἱ ἄγγελοι αὐτοῦ· αἰνεῖτε αὐτόν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ· σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Αἰνεῖτε αὐτόν, ἥλιος καὶ σελήνη· αἰνεῖτε αὐτόν, πάντα τὰ ἄστρα καὶ τὸ φῶς.

---

Στίχ. γ΄. Ζῆλος λήψεται λαὸν ἀπαίδευτον, καὶ νῦν πῦρ τοὺς ὑπεναντίους ἔδεται.

Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.

Στίχ. δ΄. Πρόσθες αὐτοῖς κακά, Κύριε, πρόσθες αὐτοῖς κακὰ τοῖς ἐνδόξοις τῆς γῆς.

Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.

Ἐν συνεχείᾳ ψάλλονται οἱ τριαδικοὶ ὕμνοι τοῦ ἤχου τῆς ἑβδομάδος ἐκ τῆς Παρακλητικῆς.

Αἰνεῖτε αὐτόν, οἱ οὐρανοὶ τῶν οὐρανῶν καὶ τὸ ὕδωρ τὸ ὑπεράνω τῶν οὐρανῶν· αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου.

Ὅτι αὐτὸς εἶπε, καὶ ἐγενήθησαν· αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν.

Ἔστησεν αὐτὰ εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· πρόσταγμα ἔθετο, καὶ οὐ παρελεύσεται.

Αἰνεῖτε τὸν Κύριον ἐκ τῆς γῆς, δράκοντες καὶ πᾶσαι ἄβυσσοι.

Πῦρ, χάλαζα, χιών, κρύσταλλος, πνεῦμα καταιγίδος, τὰ ποιοῦντα τὸν λόγον αὐτοῦ.

Τὰ ὄρη καὶ πάντες οἱ βουνοί, ξύλα καρποφόρα καὶ πᾶσαι κέδροι.

Τὰ θηρία καὶ πάντα τὰ κτήνη, ἑρπετὰ καὶ πετεινὰ πτερωτά.

Βασιλεῖς τῆς γῆς καὶ πάντες λαοί, ἄρχοντες καὶ πάντες κριταὶ γῆς.

Νεανίσκοι καὶ παρθένοι, πρεσβύτεροι μετὰ νεωτέρων· αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου, ὅτι ὑψώθη τὸ ὄνομα αὐτοῦ μόνου.

Ἡ ἐξομολόγησις αὐτοῦ ἐπὶ γῆς καὶ οὐρανοῦ, καὶ ὑψώσει κέρας λαοῦ αὐτοῦ.

Ὕμνος πᾶσι τοῖς ὁσίοις αὐτοῦ, τοῖς υἱοῖς Ἰσραήλ, λαῷ ἐγγίζοντι αὐτῷ.

## Ψαλμὸς ρμθ΄ (149).

Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν, ἡ αἴνεσις αὐτοῦ ἐν ἐκκλησίᾳ ὁσίων.





Εὐφρανθήτω Ἰσραὴλ ἐπὶ τῷ ποιήσαντι αὐτόν, καὶ υἱοὶ Σιὼν ἀγαλλιάσθωσαν ἐπὶ τῷ βασιλεῖ αὐτῶν.

Αἰνεσάτωσαν τὸ ὄνομα αὐτοῦ ἐν χορῷ, ἐν τυμπάνῳ καὶ ψαλτηρίῳ ψαλάτωσαν αὐτῷ.

Ὅτι εὐδοκεῖ Κύριος ἐν τῷ λαῷ αὐτοῦ καὶ ὑψώσει πραεῖς ἐν σωτηρίᾳ.

Καυχήσονται ὅσιοι ἐν δόξῃ καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.

Αἱ ὑψώσεις τοῦ Θεοῦ ἐν τῷ λάρυγγι αὐτῶν, καὶ ῥομφαῖαι δίστομοι ἐν ταῖς χερσὶν αὐτῶν.

Τοῦ ποιῆσαι ἐκδίκησιν ἐν τοῖς ἔθνεσιν, ἐλεγμοὺς ἐν τοῖς λαοῖς.

Τοῦ δῆσαι τοὺς βασιλεῖς αὐτῶν ἐν πέδαις, καὶ τοὺς ἐνδόξους αὐτῶν ἐν χειροπέδαις σιδηραῖς.

Τοῦ ποιῆσαι ἐν αὐτοῖς κρίμα ἔγγραπτον· δόξα αὕτη ἔσται πᾶσι τοῖς ὁσίοις αὐτοῦ.

## Ψαλμὸς ρν΄ (150).

Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ, αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ.

Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.

Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν

ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Δόξα, καὶ νῦν.

Δοξολογία μεγάλη.

Δόξα σοι τῷ δείξαντι τὸ φῶς.

Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμέν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι διὰ τὴν μεγάλην σου δόξαν.

Κύριε βασιλεῦ, ἐπουράνιε Θεέ, Πάτερ παντοκράτορ· Κύριε Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ ἅγιον Πνεῦμα.

Κύριε ὁ Θεός, ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ Υἱὸς τοῦ Πατρός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐλέησον ἡμᾶς, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς.

Ὅτι σὺ εἶ μόνος ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καθ' ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Καταξίωσον, Κύριε, ἐν τῇ ἡμέρᾳ ταύτῃ ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.





Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Εὐλογητὸς εἶ, Κύριε· δίδαξόν με τὰ δικαιώματά σου. (τρίς)

Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ. Ἐγὼ εἶπα· Κύριε, ἐλέησόν με· ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.

Κύριε, πρὸς σὲ κατέφυγον· δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς· ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς. (τρίς)

Δόξα, καὶ νῦν.

Ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.

Εἶτα ψάλλεται γεγονωτέρᾳ τῇ φωνῇ·

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.

Δοξολογία μικρά,
λεγομένη τὰς μὴ ἑορτασίμους ἡμέρας
καὶ κατὰ τὴν Μ. Τεσσαρακοστήν.

Σοὶ δόξα πρέπει, Κύριε ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμέν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι διὰ τὴν μεγάλην σου δόξαν.

Κύριε βασιλεῦ, ἐπουράνιε Θεέ, Πάτερ παντοκράτορ· Κύριε Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ ἅγιον Πνεῦμα.

Κύριε ὁ Θεός, ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ Υἱὸς τοῦ Πατρός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐλέησον ἡμᾶς, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς.

Ὅτι σὺ εἶ μόνος ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καθ' ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ. Ἐγὼ εἶπα· Κύριε, ἐλέησόν με· ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.

Κύριε, πρὸς σὲ κατέφυγον· δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς· ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.

Καταξίωσον, Κύριε, ἐν τῇ ἡμέρᾳ ταύτῃ ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.





Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Εὐλογητὸς εἶ, Κύριε· δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Δέσποτα· συνέτισόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Ἅγιε· φώτισόν με τοῖς δικαιώμασί σου.

Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα· τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς.

Σοὶ πρέπει αἶνος, σοὶ πρέπει ὕμνος, σοὶ δόξα πρέπει, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα τὰ ἀπόστιχα τῶν αἴνων (σελ. 109 κ.ἑ.), ἐν οἷς λέγομεν στίχους.

Στίχ. α΄. Ἐνεπλήσθημεν τὸ πρωῒ τοῦ ἐλέους σου, Κύριε, καὶ ἠγαλλιασάμεθα καὶ εὐφράνθημεν ἐν πάσαις ταῖς ἡμέραις ἡμῶν. Εὐφρανθείημεν, ἀνθ' ὧν ἡμερῶν ἐταπείνωσας ἡμᾶς, ἐτῶν, ὧν εἴδομεν κακά· καὶ ἴδε ἐπὶ τοὺς δούλους σου καὶ ἐπὶ τὰ ἔργα σου, καὶ ὁδήγησον τοὺς υἱοὺς αὐτῶν. (Ψαλμ. πθ΄ 14-16)

Στίχ. β΄. Καὶ ἔστω ἡ λαμπρότης Κυρίου τοῦ Θεοῦ ἡμῶν ἐφ' ἡμᾶς, καὶ τὰ ἔργα τῶν χειρῶν ἡμῶν κατεύ-

θυνον ἐφ' ἡμᾶς, καὶ τὸ ἔργον τῶν χειρῶν ἡμῶν κατεύθυνον. (Ψαλμ. πθ' 17)

Δόξα, καὶ νῦν.

Εἶτα.

Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ καὶ ψάλλειν τῷ ὀνόματί σου, Ὕψιστε, τοῦ ἀναγγέλλειν τὸ πρωῒ τὸ ἔλεός σου καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα.

Μεθ' ὃ τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν (σελ. 13-14), ἀπολυτίχιον, Ἀπόστολος, Εὐαγγέλιον καὶ ἀπόλυσις.

Κατὰ δὲ τὴν Μεγάλην Τεσσαρακοστήν, μετὰ τὸ τρισάγιον λέγομεν τὸ παρὸν ἀπολυτίχιον.

Ἐν τῷ ναῷ ἑστῶτες τῆς δόξης σου, ἐν οὐρανῷ ἑστάναι νομίζομεν. Θεοτόκε, πύλη ἐπουράνιε, ἄνοιξον ἡμῖν τὴν θύραν τοῦ ἐλέους σου.

Κύριε, ἐλέησον μ'. Τὴν τιμιωτέραν τῶν Χερουβίμ.

Ἐπουράνιε Βασιλεῦ, [τοὺς πιστοὺς βασιλεῖς ἡμῶν στερέωσον,] τὴν πίστιν στήριξον, τὰ ἔθνη πράϋνον, τὸν κόσμον εἰρήνευσον, τὴν ἁγίαν μονὴν (ἢ πόλιν) ταύτην (ἢ τὸν οἶκον τοῦτον) καλῶς διαφύλαξον· τοὺς προαπελθόντας πατέρας καὶ ἀδελφοὺς ἡμῶν ἐν σκηναῖς δικαίων τάξον, καὶ ἡμᾶς ἐν μετανοίᾳ καὶ ἐξομολογήσει παράλαβε, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Καὶ τὴν εὐχὴν τοῦ ἁγίου Ἐφραὶμ (σελ. 21).



## ΑΚΟΛΟΥΘΙΑ ΤΗΣ ΕΝΑΤΗΣ ΩΡΑΣ

Βασιλεῦ οὐράνιε. Τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν (σελ. 13-14). Κύριε, ἐλέησον ιβ'. Δόξα, καὶ νῦν. Δεῦτε προσκυνήσωμεν γ'.

Ψαλμὸς πγ' (83).

Ὡς ἀγαπητὰ τὰ σκηνώματά σου, Κύριε τῶν δυνάμεων· ἐπιποθεῖ καὶ ἐκλείπει ἡ ψυχή μου εἰς τὰς αὐλὰς τοῦ Κυρίου.

Ἡ καρδία μου καὶ ἡ σάρξ μου ἠγαλλιάσαντο ἐπὶ Θεὸν ζῶντα.

Καὶ γὰρ στρουθίον εὗρεν ἑαυτῷ οἰκίαν, καὶ τρυγὼν νοσσιὰν ἑαυτῇ, οὗ θήσει τὰ νοσσία ἑαυτῆς.

Τὰ θυσιαστήριά σου, Κύριε τῶν δυνάμεων, ὁ βασιλεύς μου καὶ ὁ Θεός μου.

Μακάριοι οἱ κατοικοῦντες ἐν τῷ οἴκῳ σου, εἰς τοὺς αἰῶνας τῶν αἰώνων αἰνέσουσί σε.

Μακάριος ἀνήρ, ᾧ ἐστιν ἀντίληψις αὐτῷ παρὰ σοῦ· ἀναβάσεις ἐν τῇ καρδίᾳ αὐτοῦ διέθετο, εἰς τὴν κοιλάδα τοῦ κλαυθμῶνος, εἰς τὸν τόπον ὃν ἔθετο.

Καὶ γὰρ εὐλογίας δώσει ὁ νομοθετῶν· πορεύσονται ἐκ δυνάμεως εἰς δύναμιν, ὀφθήσεται ὁ Θεὸς τῶν θεῶν ἐν Σιών.

Κύριε, ὁ Θεὸς τῶν δυνάμεων, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι, ὁ Θεὸς Ἰακώβ.

Ὑπερασπιστὰ ἡμῶν, ἴδε, ὁ Θεός, καὶ ἐπίβλεψον εἰς τὸ πρόσωπον τοῦ χριστοῦ σου.

Ὅτι κρείσσων ἡμέρα μία ἐν ταῖς αὐλαῖς σου ὑπὲρ χιλιάδας.

Ἐξελεξάμην παραρριπτεῖσθαι ἐν τῷ οἴκῳ τοῦ Θεοῦ μου μᾶλλον, ἢ οἰκεῖν με ἐν σκηνώμασιν ἁμαρτωλῶν.

Ὅτι ἔλεος καὶ ἀλήθειαν ἀγαπᾷ Κύριος ὁ Θεός, χάριν καὶ δόξαν δώσει· Κύριος οὐ στερήσει τὰ ἀγαθὰ τοῖς πορευομένοις ἐν ἀκακίᾳ.

Κύριε, ὁ Θεὸς τῶν δυνάμεων, μακάριος ἄνθρωπος ὁ ἐλπίζων ἐπὶ σέ.

### Ψαλμὸς πδ´ (84).

Εὐδόκησας, Κύριε, τὴν γῆν σου, ἀπέστρεψας τὴν αἰχμαλωσίαν Ἰακώβ.

Ἀφῆκας τὰς ἀνομίας τῷ λαῷ σου, ἐκάλυψας πάσας τὰς ἁμαρτίας αὐτῶν.

Κατέπαυσας πᾶσαν τὴν ὀργήν σου, ἀπέστρεψας ἀπὸ ὀργῆς θυμοῦ σου.

Ἐπίστρεψον ἡμᾶς, ὁ Θεὸς τῶν σωτηρίων ἡμῶν, καὶ ἀπόστρεψον τὸν θυμόν σου ἀφ' ἡμῶν.

Μὴ εἰς τοὺς αἰῶνας ὀργισθῆς ἡμῖν; ἢ διατενεῖς τὴν ὀργήν σου ἀπὸ γενεᾶς εἰς γενεάν;

Ὁ Θεός, σὺ ἐπιστρέψας ζωώσεις ἡμᾶς, καὶ ὁ λαός σου εὐφρανθήσεται ἐπὶ σοί.





Δεῖξον ἡμῖν, Κύριε, τὸ ἔλεός σου, καὶ τὸ σωτήριόν σου δῴης ἡμῖν.

Ἀκούσομαι τί λαλήσει ἐν ἐμοὶ Κύριος ὁ Θεός· ὅτι λαλήσει εἰρήνην ἐπὶ τὸν λαὸν αὐτοῦ, καὶ ἐπὶ τοὺς ὁσίους αὐτοῦ, καὶ ἐπὶ τοὺς ἐπιστρέφοντας καρδίαν ἐπ' αὐτόν.

Πλὴν ἐγγὺς τῶν φοβουμένων αὐτὸν τὸ σωτήριον αὐτοῦ, τοῦ κατασκηνῶσαι δόξαν ἐν τῇ γῇ ἡμῶν.

Ἔλεος καὶ ἀλήθεια συνήντησαν, δικαιοσύνη καὶ εἰρήνη κατεφίλησαν.

Ἀλήθεια ἐκ τῆς γῆς ἀνέτειλε, καὶ δικαιοσύνη ἐκ τοῦ οὐρανοῦ διέκυψε.

Καὶ γὰρ ὁ Κύριος δώσει χρηστότητα, καὶ ἡ γῆ ἡμῶν δώσει τὸν καρπὸν αὐτῆς.

Δικαιοσύνη ἐνώπιον αὐτοῦ προπορεύσεται, καὶ θήσει εἰς ὁδὸν τὰ διαβήματα αὐτοῦ.

### Ψαλμὸς πε´ (85).

Κλῖνον, Κύριε, τὸ οὖς σου καὶ ἐπάκουσόν μου, ὅτι πτωχὸς καὶ πένης εἰμὶ ἐγώ.

Φύλαξον τὴν ψυχήν μου, ὅτι ὅσιός εἰμι· σῶσον τὸν δοῦλόν σου, ὁ Θεός μου, τὸν ἐλπίζοντα ἐπὶ σέ.

Ἐλέησόν με, Κύριε, ὅτι πρὸς σὲ κεκράξομαι ὅλην τὴν ἡμέραν· εὔφρανον τὴν ψυχὴν τοῦ δούλου σου, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου.

Ὅτι σύ, Κύριε, χρηστὸς καὶ ἐπιεικὴς καὶ πολυέλεος πᾶσι τοῖς ἐπικαλουμένοις σε.

Ἐνώτισαι, Κύριε, τὴν προσευχήν μου, καὶ πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου.

Ἐν ἡμέρᾳ θλίψεώς μου ἐκέκραξα πρὸς σέ, ὅτι ἐπήκουσάς μου.

Οὐκ ἔστιν ὅμοιός σοι ἐν θεοῖς, Κύριε, καὶ οὐκ ἔστι κατὰ τὰ ἔργα σου.

Πάντα τὰ ἔθνη, ὅσα ἐποίησας, ἥξουσι καὶ προσκυνήσουσιν ἐνώπιόν σου, Κύριε, καὶ δοξάσουσι τὸ ὄνομά σου.

Ὅτι μέγας εἶ σὺ καὶ ποιῶν θαυμάσια, σὺ εἶ Θεὸς μόνος.

Ὁδήγησόν με, Κύριε, ἐν τῇ ὁδῷ σου, καὶ πορεύσομαι ἐν τῇ ἀληθείᾳ σου· εὐφρανθήτω ἡ καρδία μου τοῦ φοβεῖσθαι τὸ ὄνομά σου.

Ἐξομολογήσομαί σοι, Κύριε ὁ Θεός μου, ἐν ὅλῃ καρδίᾳ μου, καὶ δοξάσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα.

Ὅτι τὸ ἔλεός σου μέγα ἐπ' ἐμέ, καὶ ἐρρύσω τὴν ψυχήν μου ἐξ ᾅδου κατωτάτου.

Ὁ Θεός, παράνομοι ἐπανέστησαν ἐπ' ἐμέ, καὶ συναγωγὴ κραταιῶν ἐζήτησαν τὴν ψυχήν μου, καὶ οὐ προέθεντό σε ἐνώπιον αὐτῶν.

Καὶ σύ, Κύριε ὁ Θεός μου, οἰκτίρμων καὶ ἐλεήμων, μακρόθυμος καὶ πολυέλεος καὶ ἀληθινός.

Ἐπίβλεψον ἐπ' ἐμὲ καὶ ἐλέησόν με· δὸς τὸ κράτος σου τῷ παιδί σου, καὶ σῶσον τὸν υἱὸν τῆς παιδίσκης σου.

Ποίησον μετ' ἐμοῦ σημεῖον εἰς ἀγαθόν, καὶ ἰδέτωσαν οἱ μισοῦντές με καὶ αἰσχυνθήτωσαν, ὅτι σύ, Κύριε, ἐβοήθησάς μοι καὶ παρεκάλεσάς με. (δίς)

Δόξα, καὶ νῦν.

Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα, δόξα σοι, ὁ Θεός γ΄.





Κύριε, ἐλέησον γ΄. Δόξα. Τὸ ἀπολυτίκιον.
Καὶ νῦν. Ὁ δι' ἡμᾶς γεννηθείς... (βλ. κατωτέρω).

Κατὰ δὲ τὴν Μεγάλην Τεσσαρακοστήν, μετὰ τὸ Κύριε, ἐλέησον, ἀντὶ τοῦ ἀπολυτικίου ψάλλομεν τὸ παρόν.

Ἦχος πλ. δ΄.

Ὁ ἐν τῇ ἐνάτῃ ὥρᾳ δι' ἡμᾶς σαρκὶ τοῦ θανάτου γευσάμενος, νέκρωσον τῆς σαρκὸς ἡμῶν τὸ φρόνημα, Χριστὲ ὁ Θεός, καὶ σῶσον ἡμᾶς.

Στίχ. α΄. Ἐγγισάτω ἡ δέησίς μου ἐνώπιόν σου, Κύριε, κατὰ τὸ λόγιόν σου συνέτισόν με.

Στίχ. β΄. Εἰσέλθοι τὸ ἀξίωμά μου ἐνώπιόν σου, Κύριε, κατὰ τὸ λόγιόν σου ῥῦσαί με.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Ὁ δι' ἡμᾶς γεννηθεὶς ἐκ Παρθένου, καὶ σταύρωσιν ὑπομείνας ἀγαθέ, ὁ θανάτῳ τὸν θάνατον σκυλεύσας, καὶ ἔγερσιν δείξας ὡς Θεός, μὴ παρίδῃς οὓς ἔπλασας τῇ χειρί σου· δεῖξον τὴν φιλανθρωπίαν σου ἐλεῆμον, δέξαι τὴν τεκοῦσάν σε Θεοτόκον, πρεσβεύουσαν ὑπὲρ ἡμῶν, καὶ σῶσον, Σωτὴρ ἡμῶν, λαὸν ἀπεγνωσμένον.

Καὶ εὐθύς.

Μὴ δὴ παραδῴης ἡμᾶς εἰς τέλος διὰ τὸ ὄνομά σου τὸ ἅγιον, καὶ μὴ διασκεδάσῃς τὴν διαθήκην σου, καὶ μὴ ἀποστήσῃς τὸ ἔλεός σου ἀφ' ἡμῶν, διὰ Ἀβραὰμ τὸν ἠγαπημένον ὑπὸ σοῦ, καὶ διὰ Ἰσαὰκ τὸν δοῦλόν σου, καὶ Ἰσραὴλ τὸν ἅγιόν σου.

Τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν (σελ. 13-14). Τὸ κοντάκιον τῆς ἑορτῆς ἢ τῆς ἡμέρας· κατὰ δὲ τὴν Μεγάλην Τεσσαρακοστήν, τὰ παρόντα τροπάρια.

Βλέπων ὁ ληστὴς τὸν ἀρχηγὸν τῆς ζωῆς ἐπὶ σταυροῦ κρεμάμενον, ἔλεγεν· Εἰ μὴ Θεὸς ὑπῆρχε σαρκωθείς, ὁ σὺν ἡμῖν σταυρωθείς, οὐκ ἂν ὁ ἥλιος τὰς ἀκτῖνας ἐναπέκρυψεν, οὐδὲ ἡ γῆ σειομένη ἐκυμαίνετο· ἀλλ' ὁ πάντων ἀνεχόμενος, μνήσθητί μου, Κύριε, ἐν τῇ βασιλείᾳ σου.

Δόξα.

Ἐν μέσῳ δύο ληστῶν, ζυγὸς δικαιοσύνης εὑρέθη ὁ σταυρός σου· τοῦ μὲν καταγομένου εἰς ᾅδην τῷ βάρει τῆς βλασφημίας, τοῦ δὲ κουφιζομένου πταισμάτων πρὸς γνῶσιν θεολογίας· Χριστὲ ὁ Θεός, δόξα σοι.

Καὶ νῦν.

Τὸν ἀμνὸν καὶ ποιμένα καὶ σωτῆρα τοῦ κόσμου, ἐν τῷ σταυρῷ θεωροῦσα ἡ τεκοῦσα, ἔλεγε δακρύουσα· Ὁ μὲν κόσμος ἀγάλλεται, δεχόμενος τὴν λύτρωσιν, τὰ δὲ σπλάγχνα μου φλέγονται, ὁρώσης σου τὴν σταύρωσιν, ἣν ὑπὲρ πάντων ὑπομένεις, ὁ Υἱὸς καὶ Θεός μου.

Κύριε, ἐλέησον μ'. Ὁ ἐν παντὶ καιρῷ (σελ. 20). Κύριε, ἐλέησον γ'. Δόξα, καὶ νῦν. Τὴν τιμιωτέραν τῶν Χερουβίμ.

Εὐχὴ τοῦ Μεγάλου Βασιλείου.

Δέσποτα Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ὁ μακροθυμήσας ἐπὶ τοῖς ἡμῶν πλημμελήμασι καὶ





ἄχρι τῆς παρούσης ὥρας ἀγαγὼν ἡμᾶς, ἐν ᾗ ἐπὶ τοῦ ζωοποιοῦ ξύλου κρεμάμενος τῷ εὐγνώμονι ληστῇ τὴν εἰς τὸν παράδεισον ὡδοποίησας εἴσοδον καὶ θανάτῳ τὸν θάνατον ὤλεσας, ἱλάσθητι ἡμῖν τοῖς ἁμαρτωλοῖς καὶ ἀναξίοις δούλοις σου· ἡμάρτομεν γὰρ καὶ ἠνομήσαμεν καὶ οὐκ ἐσμὲν ἄξιοι ἆραι τὰ ὄμματα ἡμῶν καὶ βλέψαι εἰς τὸ ὕψος τοῦ οὐρανοῦ· διότι κατελίπομεν τὴν ὁδὸν τῆς δικαιοσύνης σου καὶ ἐπορεύθημεν ἐν τοῖς θελήμασι τῶν καρδιῶν ἡμῶν. Ἀλλ' ἱκετεύομεν τὴν σὴν ἀνείκαστον ἀγαθότητα· φεῖσαι ἡμῶν, Κύριε, κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου, καὶ σῶσον ἡμᾶς διὰ τὸ ὄνομά σου τὸ ἅγιον, ὅτι ἐξέλιπον ἐν ματαιότητι αἱ ἡμέραι ἡμῶν· ἐξελοῦ ἡμᾶς τῆς τοῦ ἀντικειμένου χειρὸς καὶ ἄφες ἡμῖν τὰ ἁμαρτήματα καὶ νέκρωσον τὸ σαρκικὸν ἡμῶν φρόνημα, ἵνα τὸν παλαιὸν ἀποθέμενοι ἄνθρωπον τὸν νέον ἐνδυσώμεθα καὶ σοὶ ζήσωμεν, τῷ ἡμετέρῳ δεσπότῃ καὶ κηδεμόνι· καὶ οὕτω τοῖς σοῖς ἀκολουθοῦντες προστάγμασιν εἰς τὴν αἰώνιον ἀνάπαυσιν καταντήσωμεν, ἔνθα πάντων ἐστὶ τῶν εὐφραινομένων ἡ κατοικία. Σὺ γὰρ εἶ ἡ ὄντως ἀληθινὴ εὐφροσύνη καὶ ἀγαλλίασις τῶν ἀγαπώντων σε, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Δόξα, καὶ νῦν· καὶ ἀπόλυσις.

# ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΕΣΠΕΡΙΝΟΥ

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν τῷ βασιλεῖ ἡμῶν Θεῷ.

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ τῷ βασιλεῖ ἡμῶν Θεῷ.

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ, Χριστῷ τῷ βασιλεῖ καὶ Θεῷ ἡμῶν.

Ψαλμὸς ργ´ (103· ὁ λεγόμενος προοιμιακός).

Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον· Κύριε ὁ Θεός μου, ἐμεγαλύνθης σφόδρα.

Ἐξομολόγησιν καὶ μεγαλοπρέπειαν ἐνεδύσω, ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον.

Ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέρριν, ὁ στεγάζων ἐν ὕδασι τὰ ὑπερῷα αὐτοῦ.

Ὁ τιθεὶς νέφη τὴν ἐπίβασιν αὐτοῦ, ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων.

Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα.

Ὁ θεμελιῶν τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς, οὐ κλιθήσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Ἄβυσσος ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτοῦ, ἐπὶ τῶν





ὀρέων στήσονται ὕδατα.

Ἀπὸ ἐπιτιμήσεώς σου φεύξονται, ἀπὸ φωνῆς βροντῆς σου δειλιάσουσιν.

Ἀναβαίνουσιν ὄρη καὶ καταβαίνουσι πεδία εἰς τὸν τόπον, ὃν ἐθεμελίωσας αὐτά.

Ὅριον ἔθου, ὃ οὐ παρελεύσονται, οὐδὲ ἐπιστρέψουσι καλύψαι τὴν γῆν.

Ὁ ἐξαποστέλλων πηγὰς ἐν φάραγξιν, ἀνὰ μέσον τῶν ὀρέων διελεύσονται ὕδατα.

Ποτιοῦσι πάντα τὰ θηρία τοῦ ἀγροῦ, προσδέξονται ὄναγροι εἰς δίψαν αὐτῶν.

Ἐπ᾽ αὐτὰ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσει, ἐκ μέσου τῶν πετρῶν δώσουσι φωνήν.

Ποτίζων ὄρη ἐκ τῶν ὑπερῴων αὐτοῦ, ἀπὸ καρποῦ τῶν ἔργων σου χορτασθήσεται ἡ γῆ.

Ὁ ἐξανατέλλων χόρτον τοῖς κτήνεσι καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων.

Τοῦ ἐξαγαγεῖν ἄρτον ἐκ τῆς γῆς, καὶ οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου.

Τοῦ ἱλαρῦναι πρόσωπον ἐν ἐλαίῳ, καὶ ἄρτος καρδίαν ἀνθρώπου στηρίζει.

Χορτασθήσονται τὰ ξύλα τοῦ πεδίου, αἱ κέδροι τοῦ Λιβάνου, ἃς ἐφύτευσας.

Ἐκεῖ στρουθία ἐννοσεύσουσι, τοῦ ἐρωδιοῦ ἡ κατοικία ἡγεῖται αὐτῶν.

Ὄρη τὰ ὑψηλὰ ταῖς ἐλάφοις, πέτρα καταφυγὴ τοῖς λαγωοῖς.

Ἐποίησε σελήνην εἰς καιρούς, ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ.

Ἔθου σκότος, καὶ ἐγένετο νύξ· ἐν αὐτῇ διελεύσονται πάντα τὰ θηρία τοῦ δρυμοῦ.

Σκύμνοι ὠρυόμενοι τοῦ ἁρπάσαι καὶ ζητῆσαι παρὰ τῷ Θεῷ βρῶσιν αὐτοῖς.

Ἀνέτειλεν ὁ ἥλιος καὶ συνήχθησαν, καὶ εἰς τὰς μάνδρας αὐτῶν κοιτασθήσονται.

Ἐξελεύσεται ἄνθρωπος ἐπὶ τὸ ἔργον αὐτοῦ καὶ ἐπὶ τὴν ἐργασίαν αὐτοῦ ἕως ἑσπέρας.

Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας, ἐπληρώθη ἡ γῆ τῆς κτίσεώς σου.

Αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος, ἐκεῖ ἑρπετά, ὧν οὐκ ἔστιν ἀριθμός, ζῷα μικρὰ μετὰ μεγάλων.

Ἐκεῖ πλοῖα διαπορεύονται, δράκων οὗτος, ὃν ἔπλασας ἐμπαίζειν αὐτῇ.

Πάντα πρὸς σὲ προσδοκῶσι, δοῦναι τὴν τροφὴν αὐτῶν εἰς εὔκαιρον· δόντος σου αὐτοῖς συλλέξουσιν.

Ἀνοίξαντός σου τὴν χεῖρα τὰ σύμπαντα πλησθήσονται χρηστότητος, ἀποστρέψαντος δέ σου τὸ πρόσωπον ταραχθήσονται.

Ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψουσι καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν.

Ἐξαποστελεῖς τὸ πνεῦμά σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς.

Ἤτω ἡ δόξα Κυρίου εἰς τοὺς αἰῶνας· εὐφρανθήσεται Κύριος ἐπὶ τοῖς ἔργοις αὐτοῦ.





Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν καὶ ποιῶν αὐτὴν τρέμειν, ὁ ἁπτόμενος τῶν ὀρέων καὶ καπνίζονται.

Ἄσω τῷ Κυρίῳ ἐν τῇ ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.

Ἡδυνθείη αὐτῷ ἡ διαλογή μου, ἐγὼ δὲ εὐφρανθήσομαι ἐπὶ τῷ Κυρίῳ.

Ἐκλείποιεν ἁμαρτωλοὶ ἀπὸ τῆς γῆς καὶ ἄνομοι, ὥστε μὴ ὑπάρχειν αὐτούς. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

Καὶ πάλιν.

Ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ· ἔθου σκότος, καὶ ἐγένετο νύξ.

Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας.

Δόξα, καὶ νῦν. Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα, δόξα σοι, ὁ Θεός γ΄. Ἡ ἐλπὶς ἡμῶν, Κύριε, δόξα σοι.

Μετὰ δὲ τὸ ἐνδιάτακτον κάθισμα τοῦ Ψαλτηρίου, τὸ Κύριε, ἐκέκραξα εἰς τὸν τυχόντα ἦχον.

Ψαλμὸς ρμ΄ (140).

Κύριε, ἐκέκραξα πρὸς σέ, εἰσάκουσόν μου, εἰσάκουσόν μου, Κύριε· Κύριε, ἐκέκραξα πρὸς σέ, εἰσάκουσόν μου, πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου, ἐν τῷ κεκραγέναι με πρὸς σέ· εἰσάκουσόν μου, Κύριε.

Κατευθυνθήτω ἡ προσευχή μου ὡς θυμίαμα ἐνώπιόν σου· ἔπαρσις τῶν χειρῶν μου θυσία ἑσπερινή· εἰσάκουσόν μου, Κύριε.

Θοῦ, Κύριε, φυλακὴν τῷ στόματί μου καὶ θύραν περιοχῆς περὶ τὰ χείλη μου.

Μὴ ἐκκλίνῃς τὴν καρδίαν μου εἰς λόγους πονηρίας, τοῦ προφασίζεσθαι προφάσεις ἐν ἁμαρτίαις.

Σὺν ἀνθρώποις ἐργαζομένοις τὴν ἀνομίαν, καὶ οὐ μὴ συνδυάσω μετὰ τῶν ἐκλεκτῶν αὐτῶν.

Παιδεύσει με δίκαιος ἐν ἐλέει καὶ ἐλέγξει με, ἔλαιον δὲ ἁμαρτωλοῦ μὴ λιπανάτω τὴν κεφαλήν μου.

Ὅτι ἔτι καὶ ἡ προσευχή μου ἐν ταῖς εὐδοκίαις αὐτῶν, κατεπόθησαν ἐχόμενα πέτρας οἱ κριταὶ αὐτῶν.

Ἀκούσονται τὰ ῥήματά μου, ὅτι ἡδύνθησαν· ὡσεὶ πάχος γῆς ἐρράγη ἐπὶ τῆς γῆς, διεσκορπίσθη τὰ ὀστᾶ αὐτῶν παρὰ τὸν ᾅδην.

Ὅτι πρὸς σέ, Κύριε, Κύριε, οἱ ὀφθαλμοί μου· ἐπὶ σοὶ ἤλπισα, μὴ ἀντανέλῃς τὴν ψυχήν μου.

Φύλαξόν με ἀπὸ παγίδος, ἧς συνεστήσαντό μοι, καὶ ἀπὸ σκανδάλων τῶν ἐργαζομένων τὴν ἀνομίαν.

Πεσοῦνται ἐν ἀμφιβλήστρῳ αὐτῶν οἱ ἁμαρτωλοί· κατὰ μόνας εἰμὶ ἐγώ, ἕως ἂν παρέλθω.

## Ψαλμὸς ρμα' (141).

Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα, φωνῇ μου πρὸς Κύριον ἐδεήθην.

Ἐκχεῶ ἐνώπιον αὐτοῦ τὴν δέησίν μου, τὴν θλῖψίν μου ἐνώπιον αὐτοῦ ἀπαγγελῶ.

Ἐν τῷ ἐκλείπειν ἐξ ἐμοῦ τὸ πνεῦμά μου, καὶ σὺ ἔγνως τὰς τρίβους μου.





Ἐν ὁδῷ ταύτῃ, ᾗ ἐπορευόμην, ἔκρυψαν παγίδα μοι.

Κατενόουν εἰς τὰ δεξιὰ καὶ ἐπέβλεπον, καὶ οὐκ ἦν ὁ ἐπιγινώσκων με.

Ἀπώλετο φυγὴ ἀπ' ἐμοῦ, καὶ οὐκ ἔστιν ὁ ἐκζητῶν τὴν ψυχήν μου.

Ἐκέκραξα πρὸς σέ, Κύριε, εἶπα· σὺ εἶ ἡ ἐλπίς μου, μερίς μου εἶ ἐν γῇ ζώντων.

Πρόσχες πρὸς τὴν δέησίν μου, ὅτι ἐταπεινώθην σφόδρα.

Ῥῦσαί με ἐκ τῶν καταδιωκόντων με, ὅτι ἐκραταιώθησαν ὑπὲρ ἐμέ.

Ἐξάγαγε ἐκ φυλακῆς τὴν ψυχήν μου, τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματί σου.

Ἐμὲ ὑπομενοῦσι δίκαιοι, ἕως οὗ ἀνταποδῷς μοι.

## Ψαλμὸς ρκθ' (129).

Ἐκ βαθέων ἐκέκραξά σοι, Κύριε· Κύριε, εἰσάκουσον τῆς φωνῆς μου.

Γενηθήτω τὰ ὦτά σου προσέχοντα εἰς τὴν φωνὴν τῆς δεήσεώς μου.

Ἀπὸ τοῦ ἑπομένου στίχου ἄρχονται τὰ στιχηρὰ τῆς ἡμέρας (σελ. 103 κ.έ.).

Ἐὰν ἀνομίας παρατηρήσῃς, Κύριε, Κύριε, τίς ὑποστήσεται; ὅτι παρὰ σοὶ ὁ ἱλασμός ἐστιν.

Ἕνεκεν τοῦ ὀνόματός σου ὑπέμεινά σε, Κύριε, ὑπέμεινεν ἡ ψυχή μου εἰς τὸν λόγον σου, ἤλπισεν ἡ ψυχή μου ἐπὶ τὸν Κύριον.

Ἀπὸ φυλακῆς πρωΐας μέχρι νυκτός, ἀπὸ φυλακῆς πρωΐας ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον.

Ὅτι παρὰ τῷ Κυρίῳ τὸ ἔλεος καὶ πολλὴ παρ' αὐτῷ λύτρωσις, καὶ αὐτὸς λυτρώσεται τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν ἀνομιῶν αὐτοῦ.

Ψαλμὸς ρις' (116).

Αἰνεῖτε τὸν Κύριον, πάντα τὰ ἔθνη, ἐπαινέσατε αὐτόν, πάντες οἱ λαοί.

Ὅτι ἐκραταιώθη τὸ ἔλεος αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἡ ἀλήθεια τοῦ Κυρίου μένει εἰς τὸν αἰῶνα.

Δόξα, καὶ νῦν.

Μετὰ δὲ τοὺς Ψαλμοὺς καὶ τὰ στιχηρά, ψάλλεται ἡ ἐπιλύχνιος εὐχαριστία.

Φῶς ἱλαρὸν ἁγίας δόξης ἀθανάτου Πατρός, οὐρανίου, ἁγίου, μάκαρος, Ἰησοῦ Χριστέ, ἐλθόντες ἐπὶ τὴν ἡλίου δύσιν, ἰδόντες φῶς ἑσπερινόν, ὑμνοῦμεν Πατέρα, Υἱὸν καὶ ἅγιον Πνεῦμα, Θεόν. Ἄξιόν σε ἐν πᾶσι καιροῖς ὑμνεῖσθαι φωναῖς αἰσίαις, Υἱὲ Θεοῦ, ζωὴν ὁ διδούς· διὸ ὁ κόσμος σὲ δοξάζει.

Εἶτα τὸ προκείμενον τῆς ἡμέρας.

Τῇ Κυριακῇ ἑσπέρας. Ἦχος πλ. δ'.

Ἰδοὺ δὴ εὐλογεῖτε τὸν Κύριον, πάντες οἱ δοῦλοι Κυρίου.

Στίχ. Οἱ ἑστῶτες ἐν οἴκῳ Κυρίου, ἐν αὐλαῖς οἴκου Θεοῦ ἡμῶν.





Τῇ Δευτέρᾳ ἑσπέρας. Ἦχος δ'.

Κύριος εἰσακούσεταί μου ἐν τῷ κεκραγέναι με πρὸς αὐτόν.

Στίχ. Ἐν τῷ ἐπικαλεῖσθαί με εἰσήκουσάς μου, ὁ Θεὸς τῆς δικαιοσύνης μου.

Τῇ Τρίτῃ ἑσπέρας. Ἦχος α'.

Τὸ ἔλεός σου, Κύριε, καταδιώξει με πάσας τὰς ἡμέρας τῆς ζωῆς μου.

Στίχ. Κύριος ποιμαίνει με καὶ οὐδέν με ὑστερήσει.

Τῇ Τετάρτῃ ἑσπέρας. Ἦχος πλ. α'.

Ὁ Θεός, ἐν τῷ ὀνόματί σου σῶσόν με, καὶ ἐν τῇ δυνάμει σου κρινεῖς με.

Στίχ. Ὁ Θεός, εἰσάκουσον τῆς προσευχῆς μου.

Τῇ Πέμπτῃ ἑσπέρας. Ἦχος πλ. β'.

Ἡ βοήθειά μου παρὰ Κυρίου, τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν.

Στίχ. Ἦρα τοὺς ὀφθαλμούς μου εἰς τὰ ὄρη, ὅθεν ἥξει ἡ βοήθειά μου.

Τῇ Παρασκευῇ ἑσπέρας. Ἦχος βαρύς.

Ὁ Θεός, ἀντιλήπτωρ μου εἶ, τὸ ἔλεός σου προφθάσει με.

Στίχ. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, ὁ Θεός.

Τῷ Σαββάτῳ ἑσπέρας. Ἦχος πλ. β'.

Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο.

Στίχ. α΄. Ἐνεδύσατο ὁ Κύριος δύναμιν καὶ περιεζώσατο.

Στίχ. β΄. Καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται.

Μετὰ δὲ τὸ προκείμενον τὴν εὐχὴν ταύτην.

Καταξίωσον, Κύριε, ἐν τῇ ἑσπέρᾳ ταύτῃ ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς. Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν. Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ. Εὐλογητὸς εἶ, Κύριε· δίδαξόν με τὰ δικαιώματά σου. Εὐλογητὸς εἶ, Δέσποτα· συνέτισόν με τὰ δικαιώματά σου. Εὐλογητὸς εἶ, Ἅγιε· φώτισόν με τοῖς δικαιώμασί σου. Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα· τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς. Σοὶ πρέπει αἶνος, σοὶ πρέπει ὕμνος, σοὶ δόξα πρέπει, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα τὰ Ἀπόστιχα (σελ. 105 κ.ἑ.), ἐν οἷς λέγομεν στίχους (Ψαλμ. ρκβ΄).

Στίχ. α΄. Πρὸς σὲ ἦρα τοὺς ὀφθαλμούς μου τὸν κατοικοῦντα ἐν τῷ οὐρανῷ. Ἰδοὺ ὡς ὀφθαλμοὶ δούλων εἰς χεῖρας τῶν κυρίων αὐτῶν, ὡς ὀφθαλμοὶ παιδίσκης εἰς χεῖρας τῆς κυρίας αὐτῆς, οὕτως οἱ ὀφθαλμοὶ ἡμῶν πρὸς Κύριον τὸν Θεὸν ἡμῶν, ἕως οὗ οἰκτειρῆσαι ἡμᾶς.





Στίχ. β΄. Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, ὅτι ἐπὶ πολὺ ἐπλήσθημεν ἐξουδενώσεως, ἐπὶ πλεῖον ἐπλήσθη ἡ ψυχὴ ἡμῶν· τὸ ὄνειδος τοῖς εὐθηνοῦσι καὶ ἡ ἐξουδένωσις τοῖς ὑπερηφάνοις.

Δόξα, καὶ νῦν.

Εἶτα τὴν ᾠδὴν Συμεὼν τοῦ Θεοδόχου (Λουκ. β΄ 29-32).

Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα, κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ, ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν, φῶς εἰς ἀποκάλυψιν ἐθνῶν καὶ δόξαν λαοῦ σου Ἰσραήλ.

Τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν (σελ. 13-14). Τὸ ἀπολυτίκιον τῆς ἑορτῆς ἢ τῆς ἡμέρας. Δόξα, καὶ νῦν. Θεοτοκίον· καὶ ἀπόλυσις.

---

Εὐχὴ λεγομένη κατὰ τὴν Μ. Τεσσαρακοστήν.

Παναγία Τριάς, τὸ ὁμοούσιον κράτος, ἡ ἀδιαίρετος βασιλεία, ἡ πάντων τῶν ἀγαθῶν αἰτία, εὐδόκησον δὴ καὶ ἐπ' ἐμοὶ τῷ ἁμαρτωλῷ· στήριξον, συνέτισον τὴν καρδίαν μου καὶ πᾶσαν περίελέ μου τὴν βεβηλότητα· φώτισόν μου τὴν διάνοιαν, ἵνα διαπαντὸς δοξάζω, ὑμνῶ, προσκυνῶ καὶ λέγω· εἷς ἅγιος, εἷς Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

# ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΜΙΚΡΟΥ ΑΠΟΔΕΙΠΝΟΥ

Βασιλεῦ οὐράνιε. Τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν (σελ. 13-14). Κύριε, ἐλέησον ιβ΄. Δόξα, καὶ νῦν. Δεῦτε προσκυνήσωμεν γ΄.

## Ψαλμὸς ν΄ (50).

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου, καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διαπαντός.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.





Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

### Ψαλμὸς ξθ΄ (69).

Ὁ Θεός, εἰς τὴν βοήθειάν μου πρόσχες· Κύριε, εἰς τὸ βοηθῆσαί μοι σπεῦσον.

Αἰσχυνθήτωσαν καὶ ἐντραπήτωσαν οἱ ζητοῦντες τὴν ψυχήν μου.

Ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω καὶ καταισχυνθήτωσαν οἱ βουλόμενοί μοι κακά.

Ἀποστραφήτωσαν παραυτίκα αἰσχυνόμενοι οἱ λέγοντές μοι· Εὖγε, εὖγε.

Ἀγαλλιάσθωσαν καὶ εὐφρανθήτωσαν ἐπὶ σοὶ πάντες οἱ ζητοῦντές σε, ὁ Θεός.

Καὶ λεγέτωσαν διαπαντός· Μεγαλυνθήτω ὁ Κύριος, οἱ ἀγαπῶντες τὸ σωτήριόν σου.

Ἐγὼ δὲ πτωχός εἰμι καὶ πένης· ὁ Θεός, βοήθησόν μοι.

Βοηθός μου καὶ ῥύστης μου εἶ σύ, Κύριε, μὴ χρονίσῃς.

### Ψαλμὸς ρμβ΄ (142).

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου.

Καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.

Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου.

Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος, καὶ





ἠκηδίασεν ἐπ' ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.

Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων.

Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι.

Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα.

Γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου.

Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς σὲ κατέφυγον· δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Τὸ πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ· ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με.

Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου, καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου, καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σού εἰμι.

### Δοξολογία.

Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμέν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε,

δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι διὰ τὴν μεγάλην σου δόξαν.

Κύριε βασιλεῦ, ἐπουράνιε Θεέ, Πάτερ παντοκράτορ· Κύριε Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ ἅγιον Πνεῦμα.

Κύριε ὁ Θεός, ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ Υἱὸς τοῦ Πατρός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐλέησον ἡμᾶς, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς.

Ὅτι σὺ εἶ μόνος ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καθ' ἑκάστην ἑσπέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ. Ἐγὼ εἶπα· Κύριε, ἐλέησόν με· ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.

Κύριε, πρὸς σὲ κατέφυγον· δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς· ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.

Καταξίωσον, Κύριε, ἐν τῇ νυκτὶ ταύτῃ ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.





Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Εὐλογητὸς εἶ, Κύριε· δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Δέσποτα· συνέτισόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Ἅγιε· φώτισόν με τοῖς δικαιώμασί σου.

Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα· τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς.

Σοὶ πρέπει αἶνος, σοὶ πρέπει ὕμνος, σοὶ δόξα πρέπει, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Πιστεύω εἰς ἕνα Θεόν, Πατέρα, παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων.

Καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστόν, τὸν Υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ, τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων· φῶς ἐκ φωτός, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον τῷ Πατρί, δι' οὗ τὰ πάντα ἐγένετο.

Τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν καὶ σαρκωθέντα ἐκ Πνεύματος ἁγίου καὶ Μαρίας τῆς Παρθένου καὶ ἐνανθρωπήσαντα.

Σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου καὶ παθόντα καὶ ταφέντα.

Καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς Γραφάς.

Καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ Πατρός.

Καὶ πάλιν ἐρχόμενον μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκρούς, οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος.

Καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, τὸ κύριον, τὸ ζωοποιόν, τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, τὸ σὺν Πατρὶ καὶ Υἱῷ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον, τὸ λαλῆσαν διὰ τῶν προφητῶν.

Εἰς μίαν, ἁγίαν, καθολικὴν καὶ ἀποστολικὴν Ἐκκλησίαν.

Ὁμολογῶ ἓν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν.

Προσδοκῶ ἀνάστασιν νεκρῶν.

Καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος. Ἀμήν.

Ἐνταῦθα εἴθισται νὰ λέγωνται οἱ Χαιρετισμοὶ τῆς Θεοτόκου (σελ. 235 κ.ἑ.).

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον, καὶ Μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβίμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφίμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον σὲ μεγαλύνομεν.

Τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν (σελ. 13-14). Εἶτα τὸ κοντάκιον τῆς ἑορτῆς ἢ τῆς ἡμέρας, ἢ τὰ παρόντα τροπάρια.





Ἦχος δ΄.

Ὁ Θεὸς τῶν πατέρων ἡμῶν, ὁ ποιῶν ἀεὶ μεθ' ἡμῶν κατὰ τὴν σὴν ἐπιείκειαν, μὴ ἀποστήσῃς τὸ ἔλεός σου ἀφ' ἡμῶν, ἀλλὰ ταῖς αὐτῶν ἱκεσίαις, ἐν εἰρήνῃ κυβέρνησον τὴν ζωὴν ἡμῶν.

Τῶν ἐν ὅλῳ τῷ κόσμῳ μαρτύρων σου, ὡς πορφύραν καὶ βύσσον τὰ αἵματα, ἡ Ἐκκλησία σου στολισαμένη, δι' αὐτῶν βοᾷ σοι, Χριστὲ ὁ Θεός· τῷ λαῷ σου τοὺς οἰκτιρμούς σου κατάπεμψον, εἰρήνην τῇ πολιτείᾳ σου δώρησαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Δόξα.

Μετὰ τῶν ἁγίων ἀνάπαυσον, Χριστέ, τὰς ψυχὰς τῶν δούλων σου, ἔνθα οὐκ ἔστι πόνος, οὐ λύπη, οὐ στεναγμός, ἀλλὰ ζωὴ ἀτελεύτητος.

Καὶ νῦν.

Τῇ πρεσβείᾳ Κύριε, πάντων τῶν ἁγίων, καὶ τῆς Θεοτόκου, τὴν σὴν εἰρήνην δὸς ἡμῖν, καὶ ἐλέησον ἡμᾶς, ὡς μόνος οἰκτίρμων.

Εἶτα τὸ Κύριε, ἐλέησον μ΄ καὶ τὴν εὐχὴν ταύτην.

Ὁ ἐν παντὶ καιρῷ καὶ πάσῃ ὥρᾳ ἐν οὐρανῷ καὶ ἐπὶ γῆς προσκυνούμενος καὶ δοξαζόμενος Χριστὸς ὁ Θεός, ὁ μακρόθυμος, ὁ πολυέλεος, ὁ πολυεύσπλαγχνος, ὁ τοὺς δικαίους ἀγαπῶν καὶ τοὺς ἁμαρτωλοὺς ἐλεῶν, ὁ πάντας καλῶν πρὸς σωτηρίαν διὰ τῆς ἐπαγγελίας τῶν μελλόντων ἀγαθῶν· αὐτός, Κύριε, πρόσδεξαι καὶ

ἡμῶν ἐν τῇ ὥρᾳ ταύτῃ τὰς ἐντεύξεις καὶ ἴθυνον τὴν ζωὴν ἡμῶν πρὸς τὰς ἐντολάς σου. Τὰς ψυχὰς ἡμῶν ἁγίασον, τὰ σώματα ἅγνισον, τοὺς λογισμοὺς διόρθωσον, τὰς ἐννοίας κάθαρον καὶ ῥῦσαι ἡμᾶς ἀπὸ πάσης θλίψεως, κακῶν καὶ ὀδύνης. Τείχισον ἡμᾶς ἁγίοις σου ἀγγέλοις, ἵνα τῇ παρεμβολῇ αὐτῶν φρουρούμενοι καὶ ὁδηγούμενοι καταντήσωμεν εἰς τὴν ἑνότητα τῆς πίστεως καὶ εἰς τὴν ἐπίγνωσιν τῆς ἀπροσίτου σου δόξης· ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Κύριε, ἐλέησον γ΄. Δόξα, καὶ νῦν. Τὴν τιμιωτέραν.

### Εὐχὴ εἰς τὴν ὑπεραγίαν Θεοτόκον.

Ἄσπιλε, ἀμόλυντε, ἄφθορε, ἄχραντε, ἁγνὴ Παρθένε, θεόνυμφε Δέσποινα· ἡ Θεὸν Λόγον τοῖς ἀνθρώποις τῇ παραδόξῳ σου κυήσει ἑνώσασα καὶ τὴν ἀπωσθεῖσαν φύσιν τοῦ γένους ἡμῶν τοῖς οὐρανίοις συνάψασα· ἡ τῶν ἀπηλπισμένων μόνη ἐλπὶς καὶ τῶν πολεμουμένων βοήθεια· ἡ ἑτοίμη ἀντίληψις τῶν εἰς σὲ προστρεχόντων, καὶ πάντων τῶν Χριστιανῶν τὸ καταφύγιον· μὴ βδελύξῃ με τὸν ἁμαρτωλόν, τὸν ἐναγῆ, τὸν αἰσχροῖς λογισμοῖς καὶ λόγοις καὶ πράξεσιν ὅλον ἐμαυτὸν ἀχρειώσαντα, καὶ τῶν ἡδονῶν τοῦ βίου, ῥαθυμίᾳ γνώμης, δοῦλον γενόμενον· ἀλλ᾽ ὡς τοῦ φιλανθρώπου Θεοῦ Μήτηρ, φιλανθρώπως σπλαγχνίσθητι ἐπ᾽ ἐμοὶ τῷ ἁμαρτωλῷ καὶ ἀσώτῳ καὶ δέξαι μου τὴν ἐκ ῥυπαρῶν χειλέων προσφερομένην σοι δέησιν· καὶ τὸν σὸν Υἱόν, καὶ ἡμῶν Δεσπότην καὶ Κύριον, τῇ μητρικῇ σου παρρησίᾳ χρωμένη





δυσώπησον, ἵνα ἀνοίξῃ κἀμοὶ τὰ φιλάνθρωπα σπλάγχνα τῆς αὐτοῦ ἀγαθότητος καί, παριδών μου τὰ ἀναρίθμητα πταίσματα, ἐπιστρέψῃ με πρὸς μετάνοιαν καὶ τῶν αὐτοῦ ἐντολῶν ἐργάτην δόκιμον ἀναδείξῃ με. Καὶ πάρεσό μοι ἀεὶ ὡς ἐλεήμων καὶ συμπαθὴς καὶ φιλάγαθος· ἐν μὲν τῷ παρόντι βίῳ θερμὴ προστάτις καὶ βοηθός, τὰς τῶν ἐναντίων ἐφόδους ἀποτειχίζουσα καὶ πρὸς σωτηρίαν καθοδηγοῦσά με, καὶ ἐν τῷ καιρῷ τῆς ἐξόδου μου τὴν ἀθλίαν μου ψυχὴν περιέπουσα καὶ τὰς σκοτεινὰς ὄψεις τῶν πονηρῶν δαιμόνων πόρρω αὐτῆς ἀπελαύνουσα· ἐν δὲ τῇ φοβερᾷ ἡμέρᾳ τῆς κρίσεως, τῆς αἰωνίου με ῥυομένη κολάσεως, καὶ τῆς ἀπορρήτου δόξης τοῦ σοῦ Υἱοῦ καὶ Θεοῦ ἡμῶν κληρονόμον με ἀποδεικνύουσα. Ἧς καὶ τύχοιμι, Δέσποινά μου, ὑπεραγία Θεοτόκε, διὰ τῆς σῆς μεσιτείας καὶ ἀντιλήψεως, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ· ᾧ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ αὐτοῦ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

### Εὐχὴ ἑτέρα εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν.

Καὶ δὸς ἡμῖν, Δέσποτα, πρὸς ὕπνον ἀπιοῦσιν, ἀνάπαυσιν σώματος καὶ ψυχῆς, καὶ διαφύλαξον ἡμᾶς ἀπὸ τοῦ ζοφεροῦ ὕπνου τῆς ἁμαρτίας καὶ ἀπὸ πάσης σκοτεινῆς καὶ νυκτερινῆς ἡδυπαθείας. Παῦσον τὰς ὁρμὰς τῶν παθῶν, σβέσον τὰ πεπυρωμένα βέλη τοῦ πονηροῦ

τὰ καθ' ἡμῶν δολίως κινούμενα. Τὰς τῆς σαρκὸς ἡμῶν ἐπαναστάσεις κατάστειλον καὶ πᾶν γεῶδες καὶ ὑλικὸν ἡμῶν φρόνημα κοίμισον. Καὶ δώρησαι ἡμῖν, ὁ Θεός, γρήγορον νοῦν, σώφρονα λογισμόν, καρδίαν νήφουσαν, ὕπνον ἐλαφρὸν καὶ πάσης σατανικῆς φαντασίας ἀπηλλαγμένον. Διανάστησον δὲ ἡμᾶς ἐν τῷ καιρῷ τῆς προσευχῆς ἐστηριγμένους ἐν ταῖς ἐντολαῖς σου καὶ τὴν μνήμην τῶν σῶν κριμάτων ἐν ἑαυτοῖς ἀπαράθραυστον ἔχοντας. Παννύχιον ἡμῖν τὴν σὴν δοξολογίαν χάρισαι εἰς τὸ ὑμνεῖν καὶ εὐλογεῖν καὶ δοξάζειν τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὑπερένδοξε, ἀειπάρθενε, εὐλογημένη Θεοτόκε, προσάγαγε τὴν ἡμετέραν προσευχὴν τῷ Υἱῷ σου καὶ Θεῷ ἡμῶν, καὶ αἴτησαι ἵνα σώσῃ διὰ σοῦ τὰς ψυχὰς ἡμῶν.

Ἡ ἐλπίς μου ὁ Πατήρ, καταφυγή μου ὁ Υἱός, σκέπη μου τὸ Πνεῦμα τὸ ἅγιον· Τριὰς ἁγία, δόξα σοι.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς σὲ ἀνατίθημι, Μήτηρ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Ἐπὶ σοὶ χαίρει, Κεχαριτωμένη, πᾶσα ἡ κτίσις, ἀγγέλων τὸ σύστημα, καὶ ἀνθρώπων τὸ γένος, ἡγιασμένε ναέ, καὶ παράδεισε λογικέ, παρθενικὸν καύχημα, ἐξ ἧς Θεὸς ἐσαρκώθη, καὶ παιδίον γέγονεν, ὁ πρὸ αἰώνων ὑπάρχων Θεὸς ἡμῶν· τὴν γὰρ σὴν μήτραν, θρόνον





ἐποίησε, καὶ τὴν σὴν γαστέρα, πλατυτέραν οὐρανῶν ἀπειργάσατο. Ἐπὶ σοὶ χαίρει, Κεχαριτωμένη, πᾶσα ἡ κτίσις· δόξα σοι.

Εὐχὴ εἰς τὸν ἄγγελον φύλακα τῆς τοῦ ἀνθρώπου ζωῆς.

Ἅγιε ἄγγελε, ὁ ἐφεστὼς τῆς ἀθλίας μου ψυχῆς καὶ ταλαιπώρου μου ζωῆς, μὴ ἐγκαταλίπῃς με τὸν ἁμαρτωλόν, μηδὲ ἀποστῇς ἀπ' ἐμοῦ διὰ τὴν ἀκρασίαν μου· μὴ δῴης χώραν τῷ πονηρῷ δαίμονι κατακυριεῦσαί μου τῇ καταδυναστείᾳ τοῦ θνητοῦ τούτου σώματος· κράτησον τῆς ἀθλίας καὶ παρειμένης χειρός μου καὶ ὁδήγησόν με εἰς ὁδὸν σωτηρίας. Ναί, ἅγιε ἄγγελε τοῦ Θεοῦ, ὁ φύλαξ καὶ σκεπαστὴς τῆς ἀθλίας μου ψυχῆς καὶ τοῦ σώματος, πάντα μοι συγχώρησον, ὅσα σοι ἔθλιψα πάσας τὰς ἡμέρας τῆς ζωῆς μου, καὶ εἴ τι ἥμαρτον τὴν σήμερον ἡμέραν· σκέπασόν με ἐν τῇ παρούσῃ νυκτὶ καὶ διαφύλαξόν με ἀπὸ πάσης ἐπηρείας τοῦ ἀντικειμένου, ἵνα μὴ ἔν τινι ἁμαρτήματι παροργίσω τὸν Θεόν· καὶ πρέσβευε ὑπὲρ ἐμοῦ πρὸς τὸν Κύριον τοῦ ἐπιστηρίξαι με ἐν τῷ φόβῳ αὐτοῦ καὶ ἄξιον ἀναδεῖξαί με δοῦλον τῆς αὐτοῦ ἀγαθότητος. Ἀμήν.

Θεοτόκε Παρθένε, χαῖρε κεχαριτωμένη Μαρία, ὁ Κύριος μετὰ σοῦ· εὐλογημένη σὺ ἐν γυναιξί, καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου, ὅτι Σωτῆρα ἔτεκες τῶν ψυχῶν ἡμῶν.

Δόξα, καὶ νῦν. Κύριε, ἐλέησον γ΄ καὶ ἀπόλυσις.

## ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΜΕΓΑΛΟΥ ΑΠΟΔΕΙΠΝΟΥ*

Μετὰ τὸν Εὐλογητόν· Βασιλεῦ οὐράνιε. Τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν (σελ. 13-14). Κύριε, ἐλέησον ιβ΄. Δόξα, καὶ νῦν. Δεῦτε προσκυνήσωμεν γ΄.

### Ψαλμὸς δ΄ (4).

Ἐν τῷ ἐπικαλεῖσθαί με εἰσήκουσάς μου, ὁ Θεὸς τῆς δικαιοσύνης μου, ἐν θλίψει ἐπλάτυνάς με.

Οἰκτείρησόν με καὶ εἰσάκουσον τῆς προσευχῆς μου.

Υἱοὶ ἀνθρώπων, ἕως πότε βαρυκάρδιοι; ἱνατί ἀγαπᾶτε ματαιότητα καὶ ζητεῖτε ψεῦδος;

Καὶ γνῶτε ὅτι ἐθαυμάστωσε Κύριος τὸν ὅσιον αὐτοῦ· Κύριος εἰσακούσεταί μου ἐν τῷ κεκραγέναι με πρὸς αὐτόν.

Ὀργίζεσθε καὶ μὴ ἁμαρτάνετε· ἃ λέγετε ἐν ταῖς καρδίαις ὑμῶν, ἐπὶ ταῖς κοίταις ὑμῶν κατανύγητε.

Θύσατε θυσίαν δικαιοσύνης καὶ ἐλπίσατε ἐπὶ Κύριον.

Πολλοὶ λέγουσι· Τίς δείξει ἡμῖν τὰ ἀγαθά; ἐσημειώθη ἐφ᾿ ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, Κύριε.

---

*Ψάλλεται τὸ ἑσπέρας ἑκάστης Δευτέρας, Τρίτης, Τετάρτης καὶ Πέμπτης τῆς Μ. Τεσσαρακοστῆς, καθὼς καὶ τῇ Μ. Δευτέρᾳ καὶ Μ. Τρίτῃ.





Ἔδωκας εὐφροσύνην εἰς τὴν καρδίαν μου· ἀπὸ καρποῦ σίτου, οἴνου καὶ ἐλαίου αὐτῶν ἐπληθύνθησαν.

Ἐν εἰρήνῃ ἐπὶ τὸ αὐτὸ κοιμηθήσομαι καὶ ὑπνώσω, ὅτι σύ, Κύριε, κατὰ μόνας ἐπ᾿ ἐλπίδι κατῴκισάς με.

### Ψαλμὸς ς΄ (6).

Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με.

Ἐλέησόν με, Κύριε, ὅτι ἀσθενής εἰμι· ἴασαί με, Κύριε, ὅτι ἐταράχθη τὰ ὀστᾶ μου, καὶ ἡ ψυχή μου ἐταράχθη σφόδρα· καὶ σύ, Κύριε, ἕως πότε;

Ἐπίστρεψον, Κύριε, ῥῦσαι τὴν ψυχήν μου, σῶσόν με ἕνεκεν τοῦ ἐλέους σου.

Ὅτι οὐκ ἔστιν ἐν τῷ θανάτῳ ὁ μνημονεύων σου· ἐν δὲ τῷ ᾅδῃ τίς ἐξομολογήσεταί σοι;

Ἐκοπίασα ἐν τῷ στεναγμῷ μου, λούσω καθ᾿ ἑκάστην νύκτα τὴν κλίνην μου, ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω.

Ἐταράχθη ἀπὸ θυμοῦ ὁ ὀφθαλμός μου, ἐπαλαιώθην ἐν πᾶσι τοῖς ἐχθροῖς μου.

Ἀπόστητε ἀπ᾿ ἐμοῦ, πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, ὅτι εἰσήκουσε Κύριος τῆς φωνῆς τοῦ κλαυθμοῦ μου.

Ἤκουσε Κύριος τῆς δεήσεώς μου, Κύριος τὴν προσευχήν μου προσεδέξατο.

Αἰσχυνθείησαν καὶ ταραχθείησαν σφόδρα πάντες οἱ ἐχθροί μου, ἀποστραφείησαν καὶ καταισχυνθείησαν σφόδρα διὰ τάχους.

## Ψαλμὸς ιβ΄ (12).

Ἕως πότε, Κύριε, ἐπιλήσῃ μου εἰς τέλος; ἕως πότε ἀποστρέφεις τὸ πρόσωπόν σου ἀπ᾿ ἐμοῦ;

Ἕως τίνος θήσομαι βουλὰς ἐν ψυχῇ μου, ὀδύνας ἐν καρδίᾳ μου ἡμέρας καὶ νυκτός; ἕως πότε ὑψωθήσεται ὁ ἐχθρός μου ἐπ᾿ ἐμέ;

Ἐπίβλεψον, εἰσάκουσόν μου, Κύριε ὁ Θεός μου.

Φώτισον τοὺς ὀφθαλμούς μου, μήποτε ὑπνώσω εἰς θάνατον, μήποτε εἴπῃ ὁ ἐχθρός μου· Ἴσχυσα πρὸς αὐτόν.

Οἱ θλίβοντές με ἀγαλλιάσονται, ἐὰν σαλευθῶ· ἐγὼ δὲ ἐπὶ τῷ ἐλέει σου ἤλπισα.

Ἀγαλλιάσεται ἡ καρδία μου ἐπὶ τῷ σωτηρίῳ σου· ᾄσω τῷ Κυρίῳ τῷ εὐεργετήσαντί με, καὶ ψαλῶ τῷ ὀνόματι Κυρίου τοῦ ὑψίστου.

Καὶ πάλιν.

Ἐπίβλεψον, εἰσάκουσόν μου, Κύριε ὁ Θεός μου.

Φώτισον τοὺς ὀφθαλμούς μου, μήποτε ὑπνώσω εἰς θάνατον, μήποτε εἴπῃ ὁ ἐχθρός μου· Ἴσχυσα πρὸς αὐτόν.

Δόξα, καὶ νῦν. Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα, δόξα σοι, ὁ Θεός γ΄. Κύριε, ἐλέησον γ΄. Δόξα, καὶ νῦν.

## Ψαλμὸς κδ΄ (24).

Πρὸς σέ, Κύριε, ἦρα τὴν ψυχήν μου· ὁ Θεός μου, ἐπὶ σοὶ πέποιθα.

Μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα, μηδὲ καταγελασάτωσάν με οἱ ἐχθροί μου.

Καὶ γὰρ πάντες οἱ ὑπομένοντές σε οὐ μὴ καταισχυνθῶσιν· αἰσχυνθήτωσαν οἱ ἀνομοῦντες διακενῆς.





Τὰς ὁδούς σου, Κύριε, γνώρισόν μοι, καὶ τὰς τρίβους σου δίδαξόν με.

Ὁδήγησόν με ἐπὶ τὴν ἀλήθειάν σου καὶ δίδαξόν με, ὅτι σὺ εἶ ὁ Θεὸς ὁ σωτήρ μου, καὶ σὲ ὑπέμεινα ὅλην τὴν ἡμέραν.

Μνήσθητι τῶν οἰκτιρμῶν σου, Κύριε, καὶ τὰ ἐλέη σου, ὅτι ἀπὸ τοῦ αἰῶνός εἰσιν.

Ἁμαρτίας νεότητός μου καὶ ἀγνοίας μου μὴ μνησθῇς· κατὰ τὸ ἔλεός σου μνήσθητί μου σύ, ἕνεκεν τῆς χρηστότητός σου, Κύριε.

Χρηστὸς καὶ εὐθὺς ὁ Κύριος· διὰ τοῦτο νομοθετήσει ἁμαρτάνοντας ἐν ὁδῷ.

Ὁδηγήσει πραεῖς ἐν κρίσει, διδάξει πραεῖς ὁδοὺς αὐτοῦ.

Πᾶσαι αἱ ὁδοὶ Κυρίου ἔλεος καὶ ἀλήθεια, τοῖς ἐκζητοῦσι τὴν διαθήκην αὐτοῦ καὶ τὰ μαρτύρια αὐτοῦ.

Ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, καὶ ἱλάσθητι τῇ ἁμαρτίᾳ μου, πολλὴ γάρ ἐστι.

Τίς ἐστιν ἄνθρωπος ὁ φοβούμενος τὸν Κύριον; νομοθετήσει αὐτῷ ἐν ὁδῷ, ᾗ ᾑρετίσατο.

Ἡ ψυχὴ αὐτοῦ ἐν ἀγαθοῖς αὐλισθήσεται, καὶ τὸ σπέρμα αὐτοῦ κληρονομήσει γῆν.

Κραταίωμα Κύριος τῶν φοβουμένων αὐτόν, καὶ ἡ διαθήκη αὐτοῦ δηλώσει αὐτοῖς.

Οἱ ὀφθαλμοί μου διαπαντὸς πρὸς τὸν Κύριον, ὅτι αὐτὸς ἐκσπάσει ἐκ παγίδος τοὺς πόδας μου.

Ἐπίβλεψον ἐπ' ἐμὲ καὶ ἐλέησόν με, ὅτι μονογενὴς καὶ πτωχός εἰμι ἐγώ.

Αἱ θλίψεις τῆς καρδίας μου ἐπληθύνθησαν· ἐκ τῶν ἀναγκῶν μου ἐξάγαγέ με.

Ἴδε τὴν ταπείνωσίν μου καὶ τὸν κόπον μου, καὶ ἄφες πάσας τὰς ἁμαρτίας μου.

Ἴδε τοὺς ἐχθρούς μου, ὅτι ἐπληθύνθησαν, καὶ μῖσος ἄδικον ἐμίσησάν με.

Φύλαξον τὴν ψυχήν μου καὶ ῥῦσαί με· μὴ καταισχυνθείην, ὅτι ἤλπισα ἐπὶ σέ.

Ἄκακοι καὶ εὐθεῖς ἐκολλῶντό μοι, ὅτι ὑπέμεινά σε, Κύριε.

Λύτρωσαι, ὁ Θεός, τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν θλίψεων αὐτοῦ.

### Ψαλμὸς λ´ (30).

Ἐπὶ σοί, Κύριε, ἤλπισα, μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα· ἐν τῇ δικαιοσύνῃ σου ῥῦσαί με καὶ ἐξελοῦ με.

Κλῖνον πρός με τὸ οὖς σου, τάχυνον τοῦ ἐξελέσθαι με.

Γενοῦ μοι εἰς Θεὸν ὑπερασπιστήν, καὶ εἰς οἶκον καταφυγῆς τοῦ σῶσαί με.

Ὅτι κραταίωμά μου καὶ καταφυγή μου εἶ σύ, καὶ ἕνεκεν τοῦ ὀνόματός σου ὁδηγήσεις με καὶ διαθρέψεις με.

Ἐξάξεις με ἐκ παγίδος ταύτης, ἧς ἔκρυψάν μοι, ὅτι σὺ εἶ ὁ ὑπερασπιστής μου, Κύριε.

Εἰς χεῖράς σου παραθήσομαι τὸ πνεῦμά μου· ἐλυτρώσω με, Κύριε ὁ Θεὸς τῆς ἀληθείας.





Ἐμίσησας τοὺς διαφυλάσσοντας ματαιότητας διακενῆς.

Ἐγὼ δὲ ἐπὶ τῷ Κυρίῳ ἤλπισα· ἀγαλλιάσομαι καὶ εὐφρανθήσομαι ἐπὶ τῷ ἐλέει σου.

Ὅτι ἐπεῖδες ἐπὶ τὴν ταπείνωσίν μου, ἔσωσας ἐκ τῶν ἀναγκῶν τὴν ψυχήν μου.

Καὶ οὐ συνέκλεισάς με εἰς χεῖρας ἐχθρῶν, ἔστησας ἐν εὐρυχώρῳ τοὺς πόδας μου.

Ἐλέησόν με, Κύριε, ὅτι θλίβομαι· ἐταράχθη ἐν θυμῷ ὁ ὀφθαλμός μου, ἡ ψυχή μου καὶ ἡ γαστήρ μου.

Ὅτι ἐξέλιπεν ἐν ὀδύνῃ ἡ ζωή μου, καὶ τὰ ἔτη μου ἐν στεναγμοῖς.

Ἠσθένησεν ἐν πτωχείᾳ ἡ ἰσχύς μου, καὶ τὰ ὀστᾶ μου ἐταράχθησαν.

Παρὰ πάντας τοὺς ἐχθρούς μου ἐγενήθην ὄνειδος, καὶ τοῖς γείτοσί μου σφόδρα, καὶ φόβος τοῖς γνωστοῖς μου.

Οἱ θεωροῦντές με ἔξω ἔφυγον ἀπ' ἐμοῦ· ἐπελήσθην ὡσεὶ νεκρὸς ἀπὸ καρδίας.

Ἐγενήθην ὡσεὶ σκεῦος ἀπολωλός, ὅτι ἤκουσα ψόγον πολλῶν παροικούντων κυκλόθεν.

Ἐν τῷ ἐπισυναχθῆναι αὐτοὺς ἅμα ἐπ' ἐμέ, τοῦ λαβεῖν τὴν ψυχήν μου ἐβουλεύσαντο.

Ἐγὼ δὲ ἐπὶ σοί, Κύριε, ἤλπισα· εἶπα· Σὺ εἶ ὁ Θεός μου, ἐν ταῖς χερσί σου οἱ κλῆροί μου.

Ῥῦσαί με ἐκ χειρὸς ἐχθρῶν μου καὶ ἐκ τῶν καταδιωκόντων με.

Ἐπίφανον τὸ πρόσωπόν σου ἐπὶ τὸν δοῦλόν σου, σῶσόν με ἐν τῷ ἐλέει σου.

Κύριε, μὴ καταισχυνθείην, ὅτι ἐπεκαλεσάμην σε· αἰσχυνθείησαν οἱ ἀσεβεῖς, καὶ καταχθείησαν εἰς ᾅδου.

Ἄλαλα γενηθήτω τὰ χείλη τὰ δόλια, τὰ λαλοῦντα κατὰ τοῦ δικαίου ἀνομίαν ἐν ὑπερηφανίᾳ καὶ ἐξουδενώσει.

Ὡς πολὺ τὸ πλῆθος τῆς χρηστότητός σου, Κύριε, ἧς ἔκρυψας τοῖς φοβουμένοις σε, ἐξειργάσω τοῖς ἐλπίζουσιν ἐπὶ σέ, ἐναντίον τῶν υἱῶν τῶν ἀνθρώπων.

Κατακρύψεις αὐτοὺς ἐν ἀποκρύφῳ τοῦ προσώπου σου ἀπὸ ταραχῆς ἀνθρώπων, σκεπάσεις αὐτοὺς ἐν σκηνῇ ἀπὸ ἀντιλογίας γλωσσῶν.

Εὐλογητὸς Κύριος, ὅτι ἐθαυμάστωσε τὸ ἔλεος αὐτοῦ ἐν πόλει περιοχῆς.

Ἐγὼ δὲ εἶπα ἐν τῇ ἐκστάσει μου· Ἀπέρριμμαι ἀπὸ προσώπου τῶν ὀφθαλμῶν σου.

Διὰ τοῦτο εἰσήκουσας τῆς φωνῆς τῆς δεήσεώς μου, ἐν τῷ κεκραγέναι με πρὸς σέ.

Ἀγαπήσατε τὸν Κύριον, πάντες οἱ ὅσιοι αὐτοῦ, ὅτι ἀληθείας ἐκζητεῖ Κύριος, καὶ ἀνταποδίδωσι τοῖς περισσῶς ποιοῦσιν ὑπερηφανίαν.

Ἀνδρίζεσθε, καὶ κραταιούσθω ἡ καρδία ὑμῶν, πάντες οἱ ἐλπίζοντες ἐπὶ Κύριον.

### Ψαλμὸς ϟ΄ (90).

Ὁ κατοικῶν ἐν βοηθείᾳ τοῦ Ὑψίστου, ἐν σκέπῃ τοῦ Θεοῦ τοῦ οὐρανοῦ αὐλισθήσεται.





Ἐρεῖ τῷ Κυρίῳ· Ἀντιλήπτωρ μου εἶ καὶ καταφυγή μου, ὁ Θεός μου, καὶ ἐλπιῶ ἐπ᾿ αὐτόν.

Ὅτι αὐτὸς ῥύσεταί σε ἐκ παγίδος θηρευτῶν καὶ ἀπὸ λόγου ταραχώδους.

Ἐν τοῖς μεταφρένοις αὐτοῦ ἐπισκιάσει σοι, καὶ ὑπὸ τὰς πτέρυγας αὐτοῦ ἐλπιεῖς· ὅπλῳ κυκλώσει σε ἡ ἀλήθεια αὐτοῦ.

Οὐ φοβηθήσῃ ἀπὸ φόβου νυκτερινοῦ, ἀπὸ βέλους πετομένου ἡμέρας,

Ἀπὸ πράγματος ἐν σκότει διαπορευομένου, ἀπὸ συμπτώματος καὶ δαιμονίου μεσημβρινοῦ.

Πεσεῖται ἐκ τοῦ κλίτους σου χιλιάς, καὶ μυριὰς ἐκ δεξιῶν σου, πρὸς σὲ δὲ οὐκ ἐγγιεῖ.

Πλὴν τοῖς ὀφθαλμοῖς σου κατανοήσεις, καὶ ἀνταπόδοσιν ἁμαρτωλῶν ὄψει.

Ὅτι σύ, Κύριε, ἡ ἐλπίς μου· τὸν Ὕψιστον ἔθου καταφυγήν σου.

Οὐ προσελεύσεται πρὸς σὲ κακά, καὶ μάστιξ οὐκ ἐγγιεῖ ἐν τῷ σκηνώματί σου.

Ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ, τοῦ διαφυλάξαι σε ἐν πάσαις ταῖς ὁδοῖς σου.

Ἐπὶ χειρῶν ἀροῦσί σε, μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου.

Ἐπὶ ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσῃ, καὶ καταπατήσεις λέοντα καὶ δράκοντα.

Ὅτι ἐπ᾿ ἐμὲ ἤλπισε, καὶ ῥύσομαι αὐτόν· σκεπάσω αὐτόν, ὅτι ἔγνω τὸ ὄνομά μου.

Κεκράξεται πρός με, καὶ ἐπακούσομαι αὐτοῦ, μετ᾽ αὐτοῦ εἰμι ἐν θλίψει· ἐξελοῦμαι αὐτὸν καὶ δοξάσω αὐτόν.

Μακρότητα ἡμερῶν ἐμπλήσω αὐτόν, καὶ δείξω αὐτῷ τὸ σωτήριόν μου.

Δόξα, καὶ νῦν. Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα, δόξα σοι, ὁ Θεός γ΄. Κύριε, ἐλέησον γ΄. Δόξα, καὶ νῦν.

Καὶ ψάλλομεν τοὺς ἐφεξῆς στίχους εἰς ἦχον πλ. β΄. Ἄρχεται δὲ ὁ πρῶτος χορός.

Μεθ᾽ ἡμῶν ὁ Θεός, γνῶτε ἔθνη καὶ ἡττᾶσθε.
Ὅτι μεθ᾽ ἡμῶν ὁ Θεός.
Ἐπακούσατε ἕως ἐσχάτου τῆς γῆς.
Ὅτι μεθ᾽ ἡμῶν ὁ Θεός.
Ἰσχυκότες ἡττᾶσθε.
Ὅτι μεθ᾽ ἡμῶν ὁ Θεός.
Ἐὰν γὰρ πάλιν ἰσχύσητε, καὶ πάλιν ἡττηθήσεσθε.
Ὅτι μεθ᾽ ἡμῶν ὁ Θεός.
Καὶ ἣν ἂν βουλὴν βουλεύσησθε, διασκεδάσει Κύριος.
Ὅτι μεθ᾽ ἡμῶν ὁ Θεός.
Καὶ λόγον ὃν ἐὰν λαλήσητε, οὐ μὴ ἐμμείνῃ ἐν ὑμῖν.
Ὅτι μεθ᾽ ἡμῶν ὁ Θεός.
Τὸν δὲ φόβον ὑμῶν οὐ μὴ φοβηθῶμεν, οὐδ᾽ οὐ μὴ ταραχθῶμεν.
Ὅτι μεθ᾽ ἡμῶν ὁ Θεός.
Κύριον δὲ τὸν Θεὸν ἡμῶν αὐτὸν ἁγιάσωμεν, καὶ αὐτὸς ἔσται ἡμῖν φόβος.
Ὅτι μεθ᾽ ἡμῶν ὁ Θεός.





Καὶ ἐὰν ἐπ᾽ αὐτῷ πεποιθὼς ὦ, ἔσται μοι εἰς ἁγιασμόν.
Ὅτι μεθ᾽ ἡμῶν ὁ Θεός.
Καὶ πεποιθὼς ἔσομαι ἐπ᾽ αὐτῷ καὶ σωθήσομαι δι᾽ αὐτοῦ.
Ὅτι μεθ᾽ ἡμῶν ὁ Θεός.
Ἰδοὺ ἐγὼ καὶ τὰ παιδία, ἅ μοι ἔδωκεν ὁ Θεός.
Ὅτι μεθ᾽ ἡμῶν ὁ Θεός.
Ὁ λαὸς ὁ πορευόμενος ἐν σκότει, ἴδε φῶς μέγα.
Ὅτι μεθ᾽ ἡμῶν ὁ Θεός.
Οἱ κατοικοῦντες ἐν χώρᾳ καὶ σκιᾷ θανάτου, φῶς λάμψει ἐφ᾽ ὑμᾶς.
Ὅτι μεθ᾽ ἡμῶν ὁ Θεός.
Ὅτι Παιδίον ἐγεννήθη ἡμῖν, Υἱὸς καὶ ἐδόθη ἡμῖν.
Ὅτι μεθ᾽ ἡμῶν ὁ Θεός.
Οὗ ἡ ἀρχὴ ἐγενήθη ἐπὶ τοῦ ὤμου αὐτοῦ.
Ὅτι μεθ᾽ ἡμῶν ὁ Θεός.
Καὶ τῆς εἰρήνης αὐτοῦ οὐκ ἔστιν ὅριον.
Ὅτι μεθ᾽ ἡμῶν ὁ Θεός.
Καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ Μεγάλης βουλῆς ἄγγελος.
Ὅτι μεθ᾽ ἡμῶν ὁ Θεός.
Θαυμαστὸς σύμβουλος.
Ὅτι μεθ᾽ ἡμῶν ὁ Θεός.
Θεὸς ἰσχυρός, ἐξουσιαστής, ἄρχων εἰρήνης.
Ὅτι μεθ᾽ ἡμῶν ὁ Θεός.
Πατὴρ τοῦ μέλλοντος αἰῶνος.
Ὅτι μεθ᾽ ἡμῶν ὁ Θεός.
Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.
Ὅτι μεθ᾽ ἡμῶν ὁ Θεός.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Ὅτι μεθ' ἡμῶν ὁ Θεός.

Εἶτα οἱ δύο χοροὶ ὁμοῦ.

Μεθ' ἡμῶν ὁ Θεός, γνῶτε ἔθνη καὶ ἡττᾶσθε· ὅτι μεθ' ἡμῶν ὁ Θεός.

Καὶ εὐθὺς τὰ παρόντα τροπάρια.

Τὴν ἡμέραν διελθών, εὐχαριστῶ σοι, Κύριε· τὴν ἑσπέραν αἰτοῦμαι σὺν τῇ νυκτὶ ἀναμάρτητον· παράσχου μοι, Σωτήρ, καὶ σῶσόν με.

Δόξα.

Τὴν ἡμέραν παρελθών, δοξολογῶ σε, Δέσποτα· τὴν ἑσπέραν αἰτοῦμαι σὺν τῇ νυκτὶ ἀσκανδάλιστον· παράσχου μοι, Σωτήρ, καὶ σῶσόν με.

Καὶ νῦν.

Τὴν ἡμέραν διαβάς, ὑμνολογῶ σε, Ἅγιε· τὴν ἑσπέραν αἰτοῦμαι σὺν τῇ νυκτὶ ἀνεπίβουλον· παράσχου μοι, Σωτήρ, καὶ σῶσόν με.

Εἶτα ψάλλουσιν ὁμοῦ οἱ δύο χοροὶ εἰς ἦχον πλ. β'.

Ἡ ἀσώματος φύσις, τὰ Χερουβίμ, ἀσιγήτοις σε ὕμνοις δοξολογεῖ.

Ἑξαπτέρυγα ζῷα, τὰ Σεραφίμ, ταῖς ἀπαύστοις φωναῖς σε ὑπερυψοῖ.

Τῶν ἀγγέλων τε πᾶσα ἡ στρατιά, τρισαγίοις σε ᾄσμασιν εὐφημεῖ.





Πρὸ γὰρ πάντων ὑπάρχεις ὁ ὢν Πατήρ, καὶ συνάναρχον ἔχεις τὸν σὸν Υἱόν.

Καὶ ἰσότιμον φέρων Πνεῦμα ζωῆς, τῆς Τριάδος δεικνύεις τὸ ἀμερές.

Παναγία Παρθένε, μήτηρ Θεοῦ, οἱ τοῦ Λόγου αὐτόπται καὶ ὑπουργοί.

Προφητῶν καὶ μαρτύρων πάντες χοροί, ὡς ἀθάνατον ἔχοντες τὴν ζωήν.

Ὑπὲρ πάντων πρεσβεύσατε ἐκτενῶς, ὅτι πάντες ὑπάρχομεν ἐν δεινοῖς.

Ἵνα πλάνης ῥυσθέντες τοῦ πονηροῦ, τῶν ἀγγέλων βοήσωμεν τὴν ᾠδήν.

Ἅγιε, ἅγιε, ἅγιε, τρισάγιε Κύριε, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Καὶ εὐθὺς χθαμαλῇ τῇ φωνῇ τὸ Πιστεύω (σελ. 67). Εἶτα ψάλλομεν τοὺς παρόντας στίχους εἰς ἦχον πλ. β'. Ἄρχεται δὲ ὁ δεύτερος χορός.

Παναγία Δέσποινα Θεοτόκε, πρέσβευε ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν. (τρίς)

Πᾶσαι αἱ οὐράνιαι δυνάμεις τῶν ἁγίων ἀγγέλων καὶ ἀρχαγγέλων, πρεσβεύσατε ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν. (δίς)

Ἅγιε Ἰωάννη, προφῆτα καὶ πρόδρομε καὶ βαπτιστὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν. (δίς)

Ἅγιοι ἔνδοξοι ἀπόστολοι, προφῆται καὶ μάρτυρες,

καὶ πάντες ἅγιοι, πρεσβεύσατε ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν. (δίς)

Ὅσιοι, θεοφόροι πατέρες ἡμῶν, ποιμένες καὶ διδάσκαλοι τῆς οἰκουμένης, πρεσβεύσατε ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν. (δίς)

Ἡ ἀήττητος καὶ ἀκατάλυτος καὶ θεία δύναμις τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, μὴ ἐγκαταλίπῃς ἡμᾶς τοὺς ἁμαρτωλούς. (δίς)

Ὁ Θεός, ἱλάσθητι ἡμῖν τοῖς ἁμαρτωλοῖς. (τρίς)

Καὶ ἐλέησον ἡμᾶς.

Εἶτα τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν (σελ. 13-14). Καὶ τὰ τροπάρια ταῦτα. Ἐὰν δὲ τύχῃ ἑορτή, λέγομεν τὰ τῆς ἑορτῆς.

Τῇ Δευτέρᾳ καὶ Τετάρτῃ. Ἦχος β΄.

Φώτισον τοὺς ὀφθαλμούς μου, Χριστὲ ὁ Θεός, μήποτε ὑπνώσω εἰς θάνατον, μήποτε εἴπῃ ὁ ἐχθρός μου· Ἴσχυσα πρὸς αὐτόν.

Δόξα.

Ἀντιλήπτωρ τῆς ψυχῆς μου γενοῦ ὁ Θεός, ὅτι μέσον διαβαίνω παγίδων πολλῶν· ῥῦσαί με ἐξ αὐτῶν, καὶ σῶσόν με, ἀγαθέ, ὡς φιλάνθρωπος.

Καὶ νῦν. Θεοτοκίον.

Ὅτι οὐκ ἔχομεν παρρησίαν διὰ τὰ πολλὰ ἡμῶν ἁμαρτήματα, σὺ τὸν ἐκ σοῦ γεννηθέντα δυσώπησον, Θεοτόκε Παρθένε· πολλὰ γὰρ ἰσχύει δέησις μητρὸς πρὸς





εὐμένειαν δεσπότου. Μὴ παρίδῃς ἁμαρτωλῶν ἱκεσίας, ἡ πάνσεμνος, ὅτι ἐλεήμων ἐστί, καὶ σῴζειν δυνάμενος, ὁ καὶ παθεῖν ὑπὲρ ἡμῶν καταδεξάμενος.

Ἕτερα τροπάρια τῇ Τρίτῃ καὶ Πέμπτῃ. Ἦχος πλ. δ΄.

Τῶν ἀοράτων ἐχθρῶν μου τὸ ἄϋπνον ἐπίστασαι, Κύριε, καὶ τῆς ἀθλίας σαρκός μου τὸ ἄτονον ἔγνως, ὁ πλάσας με· διὸ εἰς χεῖράς σου παραθήσομαι τὸ πνεῦμά μου. Σκέπασόν με πτέρυξι τῆς σῆς ἀγαθότητος, ἵνα μὴ ὑπνώσω εἰς θάνατον· καὶ τοὺς νοεροὺς ὀφθαλμούς μου φώτισον, ἐν τῇ τρυφῇ τῶν θείων λόγων σου· καὶ διέγειρόν με ἐν καιρῷ εὐθέτῳ πρὸς σὴν δοξολογίαν, ὡς μόνος ἀγαθὸς καὶ φιλάνθρωπος.

Στίχ. Ἐπίβλεψον ἐπ' ἐμὲ καὶ ἐλέησόν με κατὰ τὸ κρῖμα τῶν ἀγαπώντων τὸ ὄνομά σου.

Ὡς φοβερὰ ἡ κρίσις σου, Κύριε, τῶν ἀγγέλων παρισταμένων, τῶν ἀνθρώπων εἰσαγομένων, τῶν βίβλων ἀνεῳγμένων, τῶν ἔργων ἐρευνωμένων, τῶν λογισμῶν ἐξεταζομένων. Ποία κρίσις ἔσται ἐν ἐμοὶ τῷ συλληφθέντι ἐν ἁμαρτίαις; τίς μου τὴν φλόγα κατασβέσει; τίς μου τὸ σκότος καταλάμψει, εἰ μὴ σύ, Κύριε, ἐλεήσεις με, ὡς φιλάνθρωπος;

Δόξα.

Δάκρυά μοι δός, ὁ Θεός, ὥς ποτε τῇ γυναικὶ τῇ ἁμαρτωλῷ, καὶ ἀξίωσόν με βρέχειν τοὺς πόδας σου, τοὺς ἐμὲ ἐκ τῆς ὁδοῦ τῆς πλάνης ἐλευθερώσαντας, καὶ

μύρον εὐωδίας σοι προσφέρειν, βίον καθαρὸν ἐν μετανοίᾳ μοι κτισθέντα· ἵνα ἀκούσω κἀγὼ τῆς εὐκταίας σου φωνῆς· Ἡ πίστις σου σέσωκέ σε, πορεύου εἰς εἰρήνην.

Καὶ νῦν. Θεοτοκίον.

Τὴν ἀκαταίσχυντον, Θεοτόκε, ἐλπίδα σου ἔχων, σωθήσομαι· τὴν προστασίαν σου κεκτημένος, πανάχραντε, οὐ φοβηθήσομαι· καταδιώξω τοὺς ἐχθρούς μου, καὶ τροπώσομαι αὐτούς, μόνην ἀμπεχόμενος ὡς θώρακα τὴν σκέπην σου· καὶ τὴν παντοδύναμον βοήθειάν σου καθικετεύων, βοῶ σοι· Δέσποινα, σῶσόν με ταῖς πρεσβείαις σου, καὶ ἀνάστησόν με ἐκ ζοφώδους ὕπνου πρὸς σὴν δοξολογίαν, δυνάμει τοῦ ἐκ σοῦ σαρκωθέντος Υἱοῦ τοῦ Θεοῦ.

Κύριε, ἐλέησον μ΄. Δόξα, καὶ νῦν. Τὴν τιμιωτέραν. Ἐν ὀνόματι Κυρίου εὐλόγησον, πάτερ. Ὁ ἱερεύς· Δι' εὐχῶν.

Εἶτα τὴν ἑπομένην εὐχὴν τοῦ Μεγάλου Βασιλείου.

Κύριε, Κύριε, ὁ ῥυσάμενος ἡμᾶς ἀπὸ παντὸς βέλους πετομένου ἡμέρας, ῥῦσαι ἡμᾶς καὶ ἀπὸ παντὸς πράγματος ἐν σκότει διαπορευομένου. Πρόσδεξαι θυσίαν ἑσπερινὴν τὰς τῶν χειρῶν ἡμῶν ἐπάρσεις· καταξίωσον δὲ ἡμᾶς καὶ τὸ νυκτερινὸν στάδιον ἀμέμπτως διελθεῖν, ἀπειράστους κακῶν, καὶ λύτρωσαι ἡμᾶς ἀπὸ πάσης ταραχῆς καὶ δειλίας τῆς ἐκ τοῦ διαβόλου ἡμῖν προσγινομένης. Χάρισαι ταῖς ψυχαῖς ἡμῶν κατάνυξιν καὶ τοῖς λογισμοῖς ἡμῶν μέριμναν τῆς ἐν τῇ φοβερᾷ καὶ





δικαίᾳ σου κρίσει ἐξετάσεως. Καθήλωσον ἐκ τοῦ φόβου σου τὰς σάρκας ἡμῶν καὶ νέκρωσον τὰ μέλη ἡμῶν τὰ ἐπὶ τῆς γῆς, ἵνα καὶ ἐν τῇ καθ' ὕπνον ἡσυχίᾳ ἐμφαιδρυνώμεθα τῇ θεωρίᾳ τῶν κριμάτων σου. Ἀπόστησον δὲ ἀφ' ἡμῶν πᾶσαν φαντασίαν ἀπρεπῆ καὶ ἐπιθυμίαν βλαβεράν· διανάστησον δὲ ἡμᾶς ἐν τῷ καιρῷ τῆς προσευχῆς ἐστηριγμένους ἐν τῇ πίστει καὶ προκόπτοντας ἐν τοῖς παραγγέλμασί σου, εὐδοκίᾳ καὶ ἀγαθότητι τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Δεῦτε προσκυνήσωμεν γ΄.

Ψαλμὸς ν΄ (50). Ἐλέησόν με, ὁ Θεός (σελ. 62).

Ψαλμὸς ρα΄ (101).

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, καὶ ἡ κραυγή μου πρὸς σὲ ἐλθέτω.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ· ἐν ᾗ ἂν ἡμέρᾳ θλίβωμαι, κλῖνον πρός με τὸ οὖς σου· ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλέσωμαί σε, ταχὺ ἐπάκουσόν μου.

Ὅτι ἐξέλιπον ὡσεὶ καπνὸς αἱ ἡμέραι μου, καὶ τὰ ὀστᾶ μου ὡσεὶ φρύγιον συνεφρύγησαν.

Ἐπλήγην ὡσεὶ χόρτος, καὶ ἐξηράνθη ἡ καρδία μου, ὅτι ἐπελαθόμην τοῦ φαγεῖν τὸν ἄρτον μου.

Ἀπὸ φωνῆς τοῦ στεναγμοῦ μου ἐκολλήθη τὸ ὀστοῦν μου τῇ σαρκί μου.

Ὡμοιώθην πελεκᾶνι ἐρημικῷ, ἐγενήθην ὡσεὶ νυκτικόραξ ἐν οἰκοπέδῳ.

Ἠγρύπνησα, καὶ ἐγενόμην ὡς στρουθίον μονάζον ἐπὶ δώματος.

Ὅλην τὴν ἡμέραν ὠνείδιζόν με οἱ ἐχθροί μου, καὶ οἱ ἐπαινοῦντές με κατ' ἐμοῦ ὤμνυον.

Ὅτι σποδὸν ὡσεὶ ἄρτον ἔφαγον, καὶ τὸ πόμα μου μετὰ κλαυθμοῦ ἐκίρνων, ἀπὸ προσώπου τῆς ὀργῆς σου καὶ τοῦ θυμοῦ σου, ὅτι ἐπάρας κατέρραξάς με.

Αἱ ἡμέραι μου ὡσεὶ σκιὰ ἐκλίθησαν, κἀγὼ ὡσεὶ χόρτος ἐξηράνθην.

Σὺ δέ, Κύριε, εἰς τὸν αἰῶνα μένεις, καὶ τὸ μνημόσυνόν σου εἰς γενεὰν καὶ γενεάν.

Σὺ ἀναστὰς οἰκτειρήσεις τὴν Σιών, ὅτι καιρὸς τοῦ οἰκτειρῆσαι αὐτήν, ὅτι ἥκει καιρός.

Ὅτι εὐδόκησαν οἱ δοῦλοί σου τοὺς λίθους αὐτῆς, καὶ τὸν χοῦν αὐτῆς οἰκτειρήσουσι.

Καὶ φοβηθήσονται τὰ ἔθνη τὸ ὄνομά σου, Κύριε, καὶ πάντες οἱ βασιλεῖς τῆς γῆς τὴν δόξαν σου.

Ὅτι οἰκοδομήσει Κύριος τὴν Σιών, καὶ ὀφθήσεται ἐν τῇ δόξῃ αὐτοῦ.

Ἐπέβλεψεν ἐπὶ τὴν προσευχὴν τῶν ταπεινῶν, καὶ οὐκ ἐξουδένωσε τὴν δέησιν αὐτῶν.

Γραφήτω αὕτη εἰς γενεὰν ἑτέραν, καὶ λαὸς ὁ κτιζόμενος αἰνέσει τὸν Κύριον.

Ὅτι ἐξέκυψεν ἐξ ὕψους ἁγίου αὐτοῦ, Κύριος ἐξ οὐρανοῦ ἐπὶ τὴν γῆν ἐπέβλεψε,





Τοῦ ἀκοῦσαι τοῦ στεναγμοῦ τῶν πεπεδημένων, τοῦ λῦσαι τοὺς υἱοὺς τῶν τεθανατωμένων,

Τοῦ ἀναγγεῖλαι ἐν Σιὼν τὸ ὄνομα Κυρίου, καὶ τὴν αἴνεσιν αὐτοῦ ἐν Ἱερουσαλήμ,

Ἐν τῷ ἐπισυναχθῆναι λαοὺς ἐπὶ τὸ αὐτό, καὶ βασιλεῖς τοῦ δουλεύειν τῷ Κυρίῳ.

Ἀπεκρίθη αὐτῷ ἐν ὁδῷ ἰσχύος αὐτοῦ· Τὴν ὀλιγότητα τῶν ἡμερῶν μου ἀνάγγειλόν μοι.

Μὴ ἀναγάγῃς με ἐν ἡμίσει ἡμερῶν μου, ἐν γενεᾷ γενεῶν τὰ ἔτη σου.

Κατ' ἀρχὰς σύ, Κύριε, τὴν γῆν ἐθεμελίωσας, καὶ ἔργα τῶν χειρῶν σού εἰσιν οἱ οὐρανοί.

Αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμένεις· καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται, καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτούς, καὶ ἀλλαγήσονται.

Σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσιν.

Οἱ υἱοὶ τῶν δούλων σου κατασκηνώσουσι, καὶ τὸ σπέρμα αὐτῶν εἰς τὸν αἰῶνα κατευθυνθήσεται.

## Προσευχὴ Μανασσῆ, βασιλέως τῆς Ἰουδαίας.

Κύριε παντοκράτορ, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, τοῦ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ καὶ τοῦ σπέρματος αὐτῶν τοῦ δικαίου, ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν σὺν παντὶ τῷ κόσμῳ αὐτῶν, ὁ πεδήσας τὴν θάλασσαν τῷ λόγῳ τοῦ προστάγματός σου, ὁ κλείσας τὴν ἄβυσσον καὶ σφραγισάμενος αὐτὴν τῷ φοβερῷ καὶ ἐνδόξῳ ὀνόματί σου· ὃν πάντα φρίσσει καὶ τρέμει ἀπὸ προσώπου

τῆς δυνάμεώς σου, ὅτι ἄστεκτος ἡ μεγαλοπρέπεια τῆς δόξης σου, καὶ ἀνυπόστατος ἡ ὀργὴ τῆς ἐπὶ ἁμαρτωλοὺς ἀπειλῆς σου, ἀμέτρητόν τε καὶ ἀνεξιχνίαστον τὸ ἔλεος τῆς ἐπαγγελίας σου. Σὺ γὰρ εἶ Κύριος ὕψιστος, εὔσπλαγχνος, μακρόθυμος καὶ πολυέλεος καὶ μετανοῶν ἐπὶ κακίαις ἀνθρώπων. Σύ, Κύριε, κατὰ τὸ πλῆθος τῆς χρηστότητός σου ἐπηγγείλω μετάνοιαν καὶ ἄφεσιν τοῖς ἡμαρτηκόσι σοι, καὶ τῷ πλήθει τῶν οἰκτιρμῶν σου ὥρισας μετάνοιαν ἁμαρτωλοῖς εἰς σωτηρίαν. Σὺ οὖν, Κύριε, ὁ Θεὸς τῶν δυνάμεων, οὐκ ἔθου μετάνοιαν δικαίοις, τῷ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, τοῖς οὐχ ἡμαρτηκόσι σοι, ἀλλ' ἔθου μετάνοιαν ἐπ' ἐμοὶ τῷ ἁμαρτωλῷ, διότι ἥμαρτον ὑπὲρ ἀριθμὸν ψάμμου θαλάσσης. Ἐπλήθυναν αἱ ἀνομίαι μου, Κύριε, ἐπλήθυναν αἱ ἀνομίαι μου, καὶ οὐκ εἰμὶ ἄξιος ἀτενίσαι καὶ ἰδεῖν τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τοῦ πλήθους τῶν ἀδικιῶν μου, κατακαμπτόμενος πολλῷ δεσμῷ σιδηρῷ, εἰς τὸ μὴ ἀνανεῦσαι τὴν κεφαλήν μου, καὶ οὐκ ἔστι μοι ἄνεσις, διότι παρώργισα τὸν θυμόν σου καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, μὴ ποιήσας τὸ θέλημά σου καὶ μὴ φυλάξας τὰ προστάγματά σου. Καὶ νῦν κλίνω γόνυ καρδίας δεόμενος τῆς παρὰ σοῦ χρηστότητος. Ἡμάρτηκα, Κύριε, ἡμάρτηκα καὶ τὰς ἀνομίας μου ἐγὼ γινώσκω· ἀλλ' αἰτοῦμαι δεόμενος· ἄνες μοι, Κύριε, ἄνες μοι καὶ μὴ συναπολέσῃς με ταῖς ἀνομίαις μου, μηδὲ εἰς τὸν αἰῶνα μηνίσας τηρήσῃς τὰ κακά μοι, μηδὲ καταδικάσῃς με ἐν τοῖς κατωτάτοις τῆς γῆς· διότι σὺ εἶ Θεός, Θεὸς τῶν





μετανοούντων, καὶ ἐν ἐμοὶ δείξεις πᾶσαν τὴν ἀγαθωσύνην σου· ὅτι ἀνάξιον ὄντα σώσεις με κατὰ τὸ πολὺ ἔλεός σου, καὶ αἰνέσω σε διαπαντὸς ἐν ταῖς ἡμέραις τῆς ζωῆς μου· ὅτι σὲ ὑμνεῖ πᾶσα ἡ δύναμις τῶν οὐρανῶν, καὶ σοῦ ἐστιν ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν (σελ. 13-14). Καὶ τὰ τροπάρια ταῦτα.

Ἦχος πλ. β'.

Ἐλέησον ἡμᾶς Κύριε, ἐλέησον ἡμᾶς· πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ οἱ ἁμαρτωλοὶ προσφέρομεν· ἐλέησον ἡμᾶς.

Δόξα.

Κύριε, ἐλέησον ἡμᾶς, ἐπὶ σοὶ γὰρ πεποίθαμεν. Μὴ ὀργισθῇς ἡμῖν σφόδρα, μηδὲ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν, ἀλλ' ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαγχνος, καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν· σὺ γὰρ εἶ Θεὸς ἡμῶν, καὶ ἡμεῖς λαός σου· πάντες ἔργα χειρῶν σου, καὶ τὸ ὄνομά σου ἐπικεκλήμεθα.

Καὶ νῦν. Θεοτοκίον.

Τῆς εὐσπλαγχνίας τὴν πύλην, ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε· ἐλπίζοντες εἰς σὲ μὴ ἀστοχήσωμεν· ῥυσθείημεν διὰ σοῦ τῶν περιστάσεων· σὺ γὰρ εἶ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

Κύριε, ἐλέησον μ'. Δόξα, καὶ νῦν. Τὴν τιμιωτέραν. Ἐν ὀνόματι Κυρίου εὐλόγησον, πάτερ. Ὁ ἱερεύς· Δι' εὐχῶν.

Εἶτα τὴν εὐχὴν τοῦ ἁγίου Μαρδαρίου.

Δέσποτα Θεέ, Πάτερ παντοκράτορ, Κύριε Υἱὲ μονογενὲς Ἰησοῦ Χριστὲ καὶ ἅγιον Πνεῦμα, μία θεότης, μία δύναμις, ἐλέησόν με τὸν ἁμαρτωλόν, καὶ οἷς ἐπίστασαι κρίμασι σῶσόν με τὸν ἀνάξιον δοῦλόν σου· ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Δεῦτε προσκυνήσωμεν γ', τοὺς ψαλμοὺς ξθ' (69) καὶ ρμβ' (142) καὶ τὴν Δοξολογίαν (σελ. 64-67).

Ἐνταῦθα ψάλλομεν κατὰ μὲν τὴν α' ἑβδομάδα τῆς Μ. Τεσσαρακοστῆς τὸ ὡρισμένον τμῆμα τοῦ Μ. Κανόνος, κατὰ δὲ τὰς λοιπὰς τὸν κανόνα τῆς ἡμέρας ἢ τῆς Θεοτόκου. Μετὰ δὲ τὴν συμπλήρωσιν τῶν τροπαρίων τοῦ κανόνος, τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν (σελ. 13-14). Καὶ τὸ ἑπόμενον τροπάριον μετὰ τῶν στίχων αὐτοῦ.

Ἦχος πλ. β'.

Κύριε τῶν δυνάμεων, μεθ' ἡμῶν γενοῦ· ἄλλον γὰρ ἐκτός σου βοηθὸν ἐν θλίψεσιν οὐκ ἔχομεν. Κύριε τῶν δυνάμεων, ἐλέησον ἡμᾶς.

Στίχ. Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ· αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ.

Κύριε τῶν δυνάμεων, μεθ' ἡμῶν γενοῦ...

Στίχ. Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ· αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Κύριε τῶν δυνάμεων, μεθ' ἡμῶν γενοῦ...





Στίχ. Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος· αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Κύριε τῶν δυνάμεων, μεθ' ἡμῶν γενοῦ...

Στίχ. Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ· αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.

Κύριε τῶν δυνάμεων, μεθ' ἡμῶν γενοῦ...

Στίχ. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις· αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Κύριε τῶν δυνάμεων, μεθ' ἡμῶν γενοῦ...

Εἶτα ὁ πρῶτος χορός.

Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ.

Ὁ δεύτερος χορός.

Αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ.

Καὶ πάλιν οἱ δύο χοροὶ ὁμοῦ.

Κύριε τῶν δυνάμεων, μεθ' ἡμῶν γενοῦ...

Εἶτα λέγομεν χύμα.

Δόξα τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι.

Κύριε, εἰ μὴ τοὺς ἁγίους σου εἴχομεν πρεσβευτάς, καὶ τὴν ἀγαθότητά σου συμπαθοῦσαν ἡμῖν, πῶς ἐτολμῶμεν, Σωτήρ, ὑμνῆσαί σε, ὃν εὐλογοῦσιν ἀπαύστως ἄγγελοι; Καρδιογνῶστα, φεῖσαι τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Πολλὰ τὰ πλήθη τῶν ἐμῶν, Θεοτόκε, πταισμάτων· πρὸς σὲ κατέφυγον, ἁγνή, σωτηρίας δεόμενος. Ἐ-

πίσκεψαι τὴν ἀσθενοῦσάν μου ψυχήν, καὶ πρέσβευε τῷ Υἱῷ σου καὶ Θεῷ ἡμῶν, δοθῆναί μοι τὴν ἄφεσιν, ὧν ἔπραξα δεινῶν, μόνη εὐλογημένη.

Καὶ ψάλλει ὁ πρῶτος χορός.

Παναγία Θεοτόκε, τὸν χρόνον τῆς ζωῆς μου μὴ ἐγκαταλίπῃς με· ἀνθρωπίνῃ προστασίᾳ μὴ καταπιστεύσῃς με, ἀλλ᾽ αὐτὴ ἀντιλαβοῦ, καὶ ἐλέησόν με.

Καὶ ὁ δεύτερος χορός.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς σὲ ἀνατίθημι, Μήτηρ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Κύριε, ἐλέησον μ΄. Ὁ ἐν παντὶ καιρῷ (σελ. 69). Κύριε, ἐλέησον γ΄. Δόξα, καὶ νῦν. Τὴν τιμιωτέραν. Ἐν ὀνόματι Κυρίου εὐλόγησον, πάτερ. Ὁ ἱερεύς· Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς. Εἶτα ἡ εὐχὴ τοῦ ἁγίου Ἐφραὶμ (σελ. 21).

Εἶτα τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν (σελ. 13-14). Κύριε, ἐλέησον ιβ΄. Καὶ τὰς εὐχάς· Ἄσπιλε, ἀμόλυντε..., Καὶ δὸς ἡμῖν, Δέσποτα..., ἕως τοῦ Τὴν πᾶσαν ἐλπίδα μου... (σελ. 71-72).

Δόξα, καὶ νῦν. Κύριε, ἐλέησον γ΄. Ὁ ἱερεὺς ἐκφωνεῖ· Εἰρήνη πᾶσι· τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνατε. Καὶ ἡμῶν κεκλιμένων, λέγει εὐθύς.

Δέσποτα πολυέλεε, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, πρεσβείαις τῆς παναχράντου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας· δυνάμει τοῦ τιμίου





καὶ ζωοποιοῦ Σταυροῦ· προστασίαις τῶν τιμίων ἐπουρανίων δυνάμεων ἀσωμάτων· ἱκεσίαις τοῦ τιμίου καὶ ἐνδόξου προφήτου, προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων ἀποστόλων· τῶν ἁγίων, ἐνδόξων καὶ καλλινίκων μαρτύρων· τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν· τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, καὶ πάντων σου τῶν ἁγίων· εὐπρόσδεκτον ποίησον τὴν δέησιν ἡμῶν· δώρησαι ἡμῖν τὴν ἄφεσιν τῶν παραπτωμάτων ἡμῶν· σκέπασον ἡμᾶς ἐν τῇ σκέπῃ τῶν πτερύγων σου· ἀποδίωξον ἀφ᾽ ἡμῶν πάντα ἐχθρὸν καὶ πολέμιον· εἰρήνευσον ἡμῶν τὴν ζωήν. Κύριε, ἐλέησον ἡμᾶς καὶ τὸν κόσμον σου καὶ σῶσον τὰς ψυχὰς ἡμῶν ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Εἶτα ὁ ἱερεὺς λέγει, ἀποκρινομένων ἡμῶν τὸ Κύριε, ἐλέησον συνεχῶς.

Εὐξώμεθα ὑπὲρ εἰρήνης τοῦ κόσμου.

Ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν.

Ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν (δεῖνος) καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Ὑπὲρ τοῦ εὐσεβοῦς ἡμῶν ἔθνους.

Ὑπὲρ εὐοδώσεως καὶ ἐνισχύσεως τοῦ φιλοχρίστου στρατοῦ.

Ὑπὲρ τῶν ἀπολειφθέντων πατέρων καὶ ἀδελφῶν ἡμῶν.

Ὑπὲρ τῶν διακονούντων καὶ διακονησάντων ἡμῖν.

Ὑπὲρ τῶν μισούντων καὶ ἀγαπώντων ἡμᾶς.

Ὑπὲρ τῶν ἐντειλαμένων ἡμῖν τοῖς ἀναξίοις εὔχεσθαι ὑπὲρ αὐτῶν.

Ὑπὲρ ἀναρρύσεως τῶν αἰχμαλώτων.

Ὑπὲρ τῶν ἐν θαλάσσῃ καλῶς πλεόντων.

Ὑπὲρ τῶν ἐν ἀσθενείαις κατακειμένων.

Εὐξώμεθα καὶ ὑπὲρ εὐφορίας τῶν καρπῶν τῆς γῆς.

Καὶ ὑπὲρ πάντων τῶν προαναπαυσαμένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε κειμένων καὶ ἁπανταχοῦ ὀρθοδόξων.

Εἴπωμεν καὶ ὑπὲρ ἑαυτῶν τὸ Κύριε, ἐλέησον γ΄.

Εἶτα ψάλλει ὁ δεύτερος χορός.

Τῇ Δευτέρᾳ καὶ Τετάρτῃ. Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.

Πάντων προστατεύεις ἀγαθή, τῶν καταφευγόντων ἐν πίστει, τῇ κραταιᾷ σου χειρί· ἄλλην γὰρ οὐκ ἔχομεν, ἁμαρτωλοὶ πρὸς Θεόν, ἐν κινδύνοις καὶ θλίψεσιν, ἀεὶ μεσιτείαν, οἱ κατακαμπτόμενοι, ὑπὸ πταισμάτων πολλῶν, Μῆτερ τοῦ Θεοῦ τοῦ ὑψίστου, ὅθεν σοι προσπίπτομεν· ῥῦσαι, πάσης περιστάσεως τοὺς δούλους σου.

Τῇ Τρίτῃ καὶ Πέμπτῃ. Ἦχος α΄. Πανεύφημοι μάρτυρες.

Σφαγήν σου τὴν ἄδικον Χριστέ, ἡ Παρθένος βλέπουσα, ὀδυρομένη ἐβόα σοι· Τέκνον γλυκύτατον, πῶς ἀδίκως θνήσκεις; πῶς τῷ ξύλῳ κρέμασαι, ὁ πᾶσαν γῆν κρεμάσας τοῖς ὕδασι; Μὴ λίπῃς μόνην με, εὐεργέτα πολυέλεε, τὴν μητέρα, καὶ δούλην σου δέομαι.

Δι' εὐχῶν.





Εὐχὴ λεγομένη ἐν τοῖς κελλίοις.

Τοῖς μισοῦσι καὶ ἀδικοῦσιν ἡμᾶς συγχώρησον, Κύριε. Τοῖς ἀγαθοποιοῦσιν ἀγαθοποίησον. Τοῖς ἀδελφοῖς καὶ οἰκείοις ἡμῶν χάρισαι τὰ πρὸς σωτηρίαν αἰτήματα καὶ ζωὴν τὴν αἰώνιον. Τοὺς ἐν ἀσθενείᾳ ἐπίσκεψαι καὶ ἴασιν δώρησαι. Τοὺς ἐν θαλάσσῃ κυβέρνησον. Τοῖς ἐν ὁδοιπορίαις συνόδευσον. [Τῷ βασιλεῖ συμμάχησον.] Τοῖς διακονοῦσι καὶ ἐλεοῦσιν ἡμᾶς ἁμαρτιῶν ἄφεσιν δώρησαι. Τοὺς ἐντειλαμένους ἡμῖν τοῖς ἀναξίοις εὔχεσθαι ὑπὲρ αὐτῶν ἐλέησον κατὰ τὸ μέγα σου ἔλεος. Μνήσθητι, Κύριε, τῶν προκοιμηθέντων πατέρων καὶ ἀδελφῶν ἡμῶν καὶ ἀνάπαυσον αὐτοὺς ὅπου ἐπισκοπεῖ τὸ φῶς τοῦ προσώπου σου. Μνήσθητι, Κύριε, τῶν ἀδελφῶν ἡμῶν τῶν αἰχμαλώτων καὶ λύτρωσαι αὐτοὺς ἀπὸ πάσης περιστάσεως. Μνήσθητι, Κύριε, τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν ταῖς ἁγίαις σου Ἐκκλησίαις καὶ δὸς αὐτοῖς τὰ πρὸς σωτηρίαν αἰτήματα καὶ ζωὴν τὴν αἰώνιον. Μνήσθητι, Κύριε, καὶ ἡμῶν τῶν ταπεινῶν καὶ ἁμαρτωλῶν καὶ ἀναξίων δούλων σου καὶ φώτισον ἡμῶν τὸν νοῦν τῷ φωτὶ τῆς γνώσεώς σου καὶ ὁδήγησον ἡμᾶς ἐν τῇ τρίβῳ τῶν ἐντολῶν σου· πρεσβείαις τῆς παναχράντου σου Μητρός, Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας καὶ πάντων σου τῶν ἁγίων· ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΑΙ ΑΚΟΛΟΥΘΙΑΙ ΤΗΣ ΔΙΑΚΑΙΝΗΣΙΜΟΥ

Ἀπὸ τῆς ἁγίας καὶ μεγάλης Κυριακῆς τοῦ Πάσχα μέχρι τοῦ Σαββάτου τῆς Διακαινησίμου αἱ Ὧραι, τὸ Ἀπόδειπνον καὶ τὸ Μεσονυκτικὸν ψάλλονται οὕτω.

Μετὰ τὸν Εὐλογητόν.

Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος. (τρίς)

Ἀνάστασιν Χριστοῦ θεασάμενοι, προσκυνήσωμεν ἅγιον Κύριον Ἰησοῦν, τὸν μόνον ἀναμάρτητον. Τὸν σταυρόν σου, Χριστέ, προσκυνοῦμεν, καὶ τὴν ἁγίαν σου ἀνάστασιν ὑμνοῦμεν καὶ δοξάζομεν· σὺ γὰρ εἶ Θεὸς ἡμῶν, ἐκτός σου ἄλλον οὐκ οἴδαμεν, τὸ ὄνομά σου ὀνομάζομεν. Δεῦτε πάντες οἱ πιστοὶ προσκυνήσωμεν τὴν τοῦ Χριστοῦ ἁγίαν ἀνάστασιν· ἰδοὺ γὰρ ἦλθε διὰ τοῦ σταυροῦ χαρὰ ἐν ὅλῳ τῷ κόσμῳ. Διαπαντὸς εὐλογοῦντες τὸν Κύριον, ὑμνοῦμεν τὴν ἀνάστασιν αὐτοῦ· σταυρὸν γὰρ ὑπομείνας δι' ἡμᾶς, θανάτῳ θάνατον ὤλεσεν. (τρίς)

Προλαβοῦσαι τὸν ὄρθρον αἱ περὶ Μαριάμ, καὶ εὑροῦσαι τὸν λίθον ἀποκυλισθέντα τοῦ μνήματος, ἤκουον ἐκ τοῦ ἀγγέλου· Τὸν ἐν φωτὶ ἀϊδίῳ ὑπάρχοντα,





μετὰ νεκρῶν τί ζητεῖτε ὡς ἄνθρωπον; βλέπετε τὰ ἐντάφια σπάργανα, δράμετε καὶ τῷ κόσμῳ κηρύξατε, ὡς ἠγέρθη ὁ Κύριος, θανατώσας τὸν θάνατον· ὅτι ὑπάρχει Θεοῦ Υἱός, τοῦ σῴζοντος τὸ γένος τῶν ἀνθρώπων.

Εἰ καὶ ἐν τάφῳ κατῆλθες, ἀθάνατε, ἀλλὰ τοῦ ᾅδου καθεῖλες τὴν δύναμιν· καὶ ἀνέστης ὡς νικητής, Χριστὲ ὁ Θεός, γυναιξὶ μυροφόροις φθεγξάμενος, Χαίρετε, καὶ τοῖς σοῖς ἀποστόλοις εἰρήνην δωρούμενος, ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν.

Ἐν τάφῳ σωματικῶς, ἐν ᾅδη δὲ μετὰ ψυχῆς ὡς Θεός, ἐν παραδείσῳ δὲ μετὰ λῃστοῦ, καὶ ἐν θρόνῳ ὑπῆρχες, Χριστέ, μετὰ Πατρὸς καὶ Πνεύματος, πάντα πληρῶν ὁ ἀπερίγραπτος.

Δόξα.

Ὡς ζωηφόρος, ὡς παραδείσου ὡραιότερος ὄντως, καὶ παστάδος πάσης βασιλικῆς, ἀναδέδεικται λαμπρότερος, Χριστέ, ὁ τάφος σου, ἡ πηγὴ τῆς ἡμῶν ἀναστάσεως.

Καὶ νῦν. Θεοτοκίον.

Τὸ τοῦ Ὑψίστου ἡγιασμένον θεῖον σκήνωμα, χαῖρε· διὰ σοῦ γὰρ δέδοται ἡ χαρά, Θεοτόκε, τοῖς κραυγάζουσιν· Εὐλογημένη σὺ ἐν γυναιξὶν ὑπάρχεις, πανάμωμε Δέσποινα.

Κύριε, ἐλέησον μ΄. Δόξα, καὶ νῦν. Τὴν τιμιωτέραν τῶν Χερουβίμ. Εἶτα· Δι' εὐχῶν τῶν ἁγίων πατέρων

ἡμῶν. Τρισσεύεται δὲ ἡ τοιαύτη ἀκολουθία ἔν τε τῷ Μεσονυκτικῷ καὶ ταῖς Ὥραις καὶ τῷ Ἀποδείπνῳ· ἐν τούτῳ δὲ λέγεται καὶ ἡ ἑπομένη εὐχή.

Τοῦ Μεγάλου Βασιλείου.

Εὐλογητὸς εἶ, Δέσποτα παντοκράτορ, ὁ φωτίσας τὴν ἡμέραν τῷ φωτὶ τῷ ἡλιακῷ καὶ τὴν νύκτα φαιδρύνας ταῖς αὐγαῖς τοῦ πυρός. Ὁ τὸ μῆκος τῆς ἡμέρας διελθεῖν ἡμᾶς καταξιώσας καὶ προσεγγίσαι ταῖς ἀρχαῖς τῆς νυκτός, ἐπάκουσον τῆς δεήσεως ἡμῶν καὶ παντὸς τοῦ λαοῦ σου· καὶ πᾶσιν ἡμῖν συγχωρήσας τὰ ἑκούσια καὶ τὰ ἀκούσια ἁμαρτήματα, πρόσδεξαι τὰς ἑσπερινὰς ἡμῶν ἱκεσίας καὶ κατάπεμψον τὸ πλῆθος τοῦ ἐλέους σου καὶ τῶν οἰκτιρμῶν σου ἐπὶ τὴν κληρονομίαν σου. Τείχισον ἡμᾶς ἁγίοις ἀγγέλοις σου· ὅπλισον ἡμᾶς ὅπλοις δικαιοσύνης σου· περιχαράκωσον ἡμᾶς τῇ ἀληθείᾳ σου· φρούρησον ἡμᾶς τῇ δυνάμει σου· ῥῦσαι ἡμᾶς ἐκ πάσης περιστάσεως καὶ πάσης ἐπιβουλῆς τοῦ ἀντικειμένου. Παράσχου δὲ ἡμῖν καὶ τὴν παροῦσαν ἑσπέραν σὺν τῇ ἐπερχομένῃ νυκτὶ τελείαν, ἁγίαν, εἰρηνικήν, ἀναμάρτητον, ἀσκανδάλιστον, ἀφάνταστον, καὶ πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν· πρεσβείαις τῆς ἁγίας Θεοτόκου καὶ πάντων τῶν ἁγίων τῶν ἀπ᾽ αἰῶνός σοι εὐαρεστησάντων. Ἀμήν.

Χριστὸς ἀνέστη γ΄ καὶ ἀπόλυσις.



# ΣΤΙΧΗΡΑ, ΚΑΘΙΣΜΑΤΑ, ΑΠΟΛΥΤΙΚΙΑ
## ΔΙ᾽ ΕΚΑΣΤΗΝ ΗΜΕΡΑΝ ΤΗΣ ΕΒΔΟΜΑΔΟΣ

Τῇ Κυριακῇ ἑσπέρας.

Μετὰ τὸν προοιμιακὸν Ψαλμὸν (σελ. 52) καὶ τὸ ἐνδιάτακτον κάθισμα τοῦ Ψαλτηρίου, εἰς τὸ Κύριε, ἐκέκραξα ψάλλομεν στιχηρὰ κατανυκτικὰ δεσποτικά.

Ἦχος α΄. Πανεύφημοι μάρτυρες.

Τὰ πάντα παρήγαγες τῷ σῷ, Λόγῳ καὶ τῷ Πνεύματι, δι᾽ ἀγαθότητα Κύριε· εἶτα πεποίηκας, λογικόν με ζῷον, ἵνα σου τὸ ἅγιον, δοξάζω παντοδύναμε ὄνομα, ἐγὼ δὲ μάλιστα, τοῖς αἰσχροῖς μου ἔργοις πάντοτε, ἀτιμάζω· ἀλλὰ φεῖσαι δέομαι.

Γνῶθί σου ταλαίπωρε ψυχή, τὴν θείαν εὐγένειαν, καὶ τὴν πατρίδα τὴν ἄφθαρτον, καὶ σπεῦδε πάντοτε, ἀγαθοεργίαις, ταύτην καταλήψεσθαι· μηδέν σε τῶν φθαρτῶν προσηλώσειε, τῆς ἄνω μοίρας εἶ, τὸ δὲ σῶμα γῆ καὶ φθείρεται· μὴ νικήσῃ, τὸ χεῖρον τὴν κρείττονα.

Δεῦρο παναθλία μου ψυχή, πρὸς τὸν ὑπεράγαθον, θερμοῖς τοῖς δάκρυσι πρόσελθε, τὰ πεπραγμένα σοι, πρὸ τῆς κρίσεώς σου, πάντα ἐξαγόρευσον, καὶ ἵλε-

ων τὸν Κτίστην ταλαίπωρε, σαυτῇ ἀπέργασαι, καὶ συγχώρησιν ἐξαίτησαι, πρὶν τὴν θύραν, κλείσῃ σοι ὁ Κύριος.

Ἕτερα τῶν ἀσωμάτων, ὅμοια.

Ἀσώματοι ἄγγελοι Θεοῦ, θρόνῳ παριστάμενοι, καὶ ταῖς ἐκεῖθεν ἐλλάμψεσι, καταστραπτόμενοι, καὶ φωτοχυσίαις, αἰωνίως λάμποντες, καὶ φῶτα χρηματίζοντες δεύτερα, Χριστῷ πρεσβεύσατε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Ἀθάνατοι ἄγγελοι ζωήν, ὄντως τὴν ἀνώλεθρον, παρὰ τῆς πρώτης δεξάμενοι, ζωῆς πανόλβιοι, ἀϊδίου δόξης, καὶ σεπτοὶ θεάμονες, σοφίας ἀϊδίου γεγόνατε, φωτὸς πληρούμενοι, καὶ λαμπάδες συστρεφόμεναι, ἁρμοζόντως, ἐπαναδεικνύμενοι.

Ἀρχάγγελοι Ἄγγελοι Ἀρχαί, Θρόνοι Κυριότητες, τὰ Σεραφὶμ ἑξαπτέρυγα, καὶ πολυόμματα, Χερουβὶμ τὰ θεῖα, τῆς σοφίας ὄργανα, Δυνάμεις Ἐξουσίαι θειόταται, Χριστῷ πρεσβεύσατε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Δόξα, καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Μαρία τὸ ἄμωμον καὶ νοῦν, πάντα ὑπερκείμενον, τῆς καθαρότητος ὄχημα, περικρατούμενον, πολλαῖς ἁμαρτίαις, καὶ στενοχωρούμενον, πρὸς πλάτος μετανοίας με ἴθυνον, πανσθενεστάτῃ σου, προστασίᾳ· καὶ γὰρ δύνασαι, οἷα Μήτηρ, τοῦ πάντα ἰσχύοντος.





Τὸ Φῶς ἱλαρόν, τὸ προκείμενον τῆς ἡμέρας καὶ τὸ Καταξίωσον (σελ. 58-60).

Ἀπόστιχα κατανυκτικά. Ἦχος α΄.

Ὅτι τὸ πέλαγος πολύ, τῶν παραπτωμάτων μου Σωτήρ, καὶ δεινῶς βεβύθισμαι ταῖς πλημμελείαις μου, δός μοι χεῖρα σῶσόν με, ὡς τῷ Πέτρῳ ὁ Θεός, καὶ ἐλέησόν με.

Στίχ. Πρὸς σὲ ἦρα τοὺς ὀφθαλμούς μου... (σελ. 60).

Ὅτι ἐννοίαις πονηραῖς, καὶ ἔργοις καταδεδίκασμαι Σωτήρ, λογισμόν μοι δώρησαι, ἐπιστροφῆς ὁ Θεός, ἵνα κράζω· σῶσόν με, εὐεργέτα ἀγαθέ, καὶ ἐλέησόν με.

Στίχ. Ἐλέησον ἡμᾶς, Κύριε...(σελ. 61).

Μαρτυρικόν.

Τῇ πρεσβείᾳ Κύριε, πάντων τῶν ἁγίων, καὶ τῆς Θεοτόκου, τὴν σὴν εἰρήνην δὸς ἡμῖν, καὶ ἐλέησον ἡμᾶς, ὡς μόνος οἰκτίρμων.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Τῶν οὐρανίων ταγμάτων τὸ ἀγαλλίαμα, τῶν ἐπὶ γῆς ἀνθρώπων, κραταιὰ προστασία, ἄχραντε Παρθένε σῶσον ἡμᾶς, τοὺς εἰς σὲ καταφεύγοντας, ὅτι ἐν σοὶ τὰς ἐλπίδας μετὰ Θεόν, Θεοτόκε ἀνεθέμεθα.

Τὸ Νῦν ἀπολύεις (σελ. 61), τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν (σελ. 13-14), τὸ ἀπολυτίκιον τῆς ἑορτῆς ἢ τὸ παρόν, καὶ ἀπόλυσις.

Ἀπολυτίκιον. Ἦχος δ΄.

Τῶν οὐρανίων στρατιῶν ἀρχιστράτηγοι, δυσωποῦμεν ὑμᾶς ἡμεῖς οἱ ἀνάξιοι, ἵνα ταῖς ὑμῶν δεήσεσι τειχίσητε ἡμᾶς, σκέπῃ τῶν πτερύγων, τῆς ἀΰλου ὑμῶν δόξης, φρουροῦντες ἡμᾶς προσπίπτοντας, ἐκτενῶς καὶ βοῶντας· ἐκ τῶν κινδύνων λυτρώσασθε ἡμᾶς, ὡς ταξιάρχαι τῶν ἄνω δυνάμεων.

Θεοτοκίον.

Τῇ ἀνατραφείσῃ ἐν τῷ ναῷ, εἰς τὰ ἅγια τῶν ἁγίων, τῇ περιβεβλημένῃ τὴν πίστιν καὶ τὴν σοφίαν, καὶ τὴν ἄμεμπτον παρθενίαν, ὁ ἀρχιστράτηγος Γαβριήλ, προσέφερεν οὐρανόθεν, τὸν ἀσπασμὸν καὶ τὸ χαῖρε· Χαῖρε εὐλογημένη, χαῖρε δεδοξασμένη, ὁ Κύριος μετὰ σοῦ.

Τῇ Δευτέρᾳ πρωῒ εἰς τὸν Ὄρθρον.

Μετὰ τὸν ἑξάψαλμον (σελ. 26), τὸ Θεὸς Κύριος μετὰ τῶν στίχων αὐτοῦ καὶ τὸ ἀπολυτίκιον ὡς ἀνωτέρω.

Μετὰ δὲ τὴν πρώτην στιχολογίαν τοῦ Ψαλτηρίου ψάλλομεν τὰ παρόντα κατανυκτικὰ καθίσματα.

Ἦχος α΄.

Ἐν ἀνομίαις συλληφθεὶς ἐγὼ ὁ ἄσωτος, οὐ τολμῶ ἀτενίσαι εἰς τὸ ὕψος τοῦ οὐρανοῦ, ἀλλὰ θαρρῶν εἰς τὴν φιλανθρωπίαν σου, κράζω· ὁ Θεὸς ἱλάσθητί μοι καὶ σῶσόν με.





Εἰ ὁ δίκαιος μόλις σῴζεται, ἐγὼ ποῦ φανοῦμαι ὁ ἁμαρτωλός; τὸ βάρος καὶ τὸν καύσωνα τῆς ἡμέρας οὐκ ἐβάστασα· τοῖς περὶ τὴν ἑνδεκάτην ὥραν, συναρίθμησόν με ὁ Θεὸς καὶ σῶσόν με.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Ἄχραντε Θεοτόκε, ἡ ἐν οὐρανοῖς εὐλογημένη, καὶ ἐπὶ γῆς δοξολογουμένη, χαῖρε Νύμφη ἀνύμφευτε.

Ἕτερα καθίσματα μετὰ τὴν δευτέραν στιχολογίαν.
Τὸν τάφον σου Σωτήρ.

Ἀγκάλας πατρικάς, διανοῖξαί μοι σπεῦσον, ἀσώτως τὸν ἐμόν, κατηνάλωσα βίον, εἰς πλοῦτον ἀδαπάνητον, ἀφορῶν τῶν οἰκτιρμῶν σου Σωτήρ· νῦν πτωχεύουσαν, μὴ ὑπερίδῃς καρδίαν, σοὶ γὰρ Κύριε, ἐν κατανύξει κραυγάζω, ἥμαρτόν σοι, σῶσόν με.

Τὸ βῆμά σου φρικτόν, καὶ ἡ κρίσις δικαία, τὰ ἔργα μου δεινά, ἀλλ᾽ αὐτὸς ἐλεῆμον, προφθάσας με διάσωσον, καὶ κολάσεως λύτρωσαι· ῥῦσαι Δέσποτα, τῆς τῶν ἐρίφων μερίδος, καὶ ἀξίωσον, ἐκ δεξιῶν σού με στῆναι, Κριτὰ δικαιότατε.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Κυβέρνησον ἁγνή, τὴν ἀθλίαν ψυχήν μου, καὶ οἴκτειρον αὐτήν, ὑπὸ πλήθους πταισμάτων, βυθῷ ὀλισθαίνουσαν, ἀπωλείας πανάμωμε, καὶ ἐν ὥρᾳ με, τῇ

φοβερᾷ τοῦ θανάτου, ἐλευθέρωσον, κατηγορούντων δαιμόνων, φρικτῆς ἀποφάσεως.

Ἕτερα καθίσματα μετὰ τὴν τρίτην στιχολογίαν. Τὸν τάφον σου Σωτήρ.

Ἀφρόνως ἀπὸ σοῦ, μακρυνθεὶς πανοικτίρμον, ἀσώτως τὸν ἐμόν, ἐδαπάνησα βίον, δουλεύων τοῖς πάθεσι, τοῖς ἀλόγοις ἑκάστοτε· ἀλλὰ δέξαι με, ταῖς τῶν ἀγγέλων πρεσβείαις, Πάτερ εὔσπλαγχνε, ὥσπερ τὸν ἄσωτον παῖδα, καὶ σῶσόν με δέομαι.

Μαρτυρικόν.

Ἀθλήσεως καύχημα, καὶ στεφάνων ἀξίωμα, οἱ ἔνδοξοι ἀθλοφόροι, περιβέβληνταί σε Κύριε· καρτερίᾳ γὰρ αἰκισμῶν, τοὺς ἀνόμους ἐτροπώσαντο, καὶ δυνάμει θεϊκῇ, ἐξ οὐρανοῦ τὴν νίκην ἐδέξαντο. Αὐτῶν ταῖς ἱκεσίαις, ἐλευθέρωσον τοῦ ἀοράτου ἐχθροῦ, Σωτὴρ καὶ σῶσόν με.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Τὸν τάφον σου Σωτήρ.

Ἀΰλων στρατιῶν, ὑπερέχουσα Κόρη, καὶ τάξεις οὐρανῶν, ὑπερβαίνουσα μόνη, ἐπάξιον τὴν αἴνεσιν, παρ' αὐτῶν δέχῃ πάναγνε· ἀλλὰ πρέσβευε, τῷ σῷ Υἱῷ σὺν ἀγγέλοις, τοῦ ῥυσθῆναί με, τῆς τῶν παθῶν τυραννίδος, τὸν μόνον κατάκριτον.

Λέγομεν τὸν πεντηκοστὸν Ψαλμὸν (σελ. 16) καὶ ἔπειτα ἕνα ἐκ τῶν κατανυκτικῶν κανόνων (σελ. 150-173) καὶ τὴν Ὠδὴν τῆς Θεοτόκου (σελ. 36)· εἶτα τὸ





Ἐξαποστειλάριον. Ἦχος β'. Γυναῖκες ἀκουτίσθητε.

Ἀρχάγγελοι καὶ Ἄγγελοι, Ἀρχαὶ καὶ Κυριότητες, Δυνάμεις καὶ Ἐξουσίαι, καὶ Θρόνοι, πολυόμματα, τὰ Χερουβὶμ καὶ Σεραφίμ, νῦν καὶ τὰ ἑξαπτέρυγα, ὑπὲρ ἡμῶν πρεσβεύσατε, τοῦ λυτρωθῆναι κινδύνων, καὶ τοῦ πυρὸς τοῦ ἀσβέστου.

Θεοτοκίον.

Σύ μου προστάτις ἄχραντε, καὶ ἰσχυρὸν προπύργιον, καὶ προστασία τοῦ κόσμου, καὶ σοὶ προσπίπτω κραυγάζων· τῶν ὀδυνῶν με λύτρωσαι, καὶ τοῦ πυρὸς ἐξάρπασον, τοῦ αἰωνίου Παρθένε, τὸν ἐπὶ σοὶ πεποιθότα.

Εἶτα τοὺς Αἴνους (σελ. 37) καὶ τὴν μικρὰν Δοξολογίαν (σελ. 41).

Ἀπόστιχα τῶν Αἴνων κατανυκτικά. Ἦχος α'.

Ἄλλος σε κόσμος ψυχὴ ἀναμένει, καὶ κριτὴς τὰ σὰ μέλλων δημοσιεύειν κρυπτὰ καὶ δεινά· μὴ οὖν ἐμμείνῃς τοῖς ὧδε, ἀλλὰ πρόφθασον βοῶσα τῷ κριτῇ· Ὁ Θεὸς ἱλάσθητί μοι καὶ σῶσόν με.

Στίχ. Ἐνεπλήσθημεν τὸ πρωΐ... (σελ. 43).

Μὴ ἀποδοκιμάσῃς με Σωτήρ μου, τῇ ῥαθυμίᾳ τῆς ἁμαρτίας συνεχόμενον· διέγειρόν μου τὸν λογισμὸν πρὸς μετάνοιαν, καὶ τοῦ σοῦ ἀμπελῶνος ἐργάτην δόκιμον ἀνάδειξόν με, δωρούμενός μοι τῆς ἑνδεκάτης ὥρας τὸν μισθόν, καὶ τὸ μέγα ἔλεος.

Στίχ. Καὶ ἔστω ἡ λαμπρότης... (σελ. 43).

Μαρτυρικόν.

Τοὺς ἀθλοφόρους τοῦ Χριστοῦ δεῦτε λαοὶ ἅπαντες τιμήσωμεν, ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς, τοὺς φωστῆρας τοῦ κόσμου καὶ κήρυκας τῆς πίστεως, τὴν πηγὴν τὴν ἀέναον, ἐξ ἧς ἀναβλύζει τοῖς πιστοῖς τὰ ἰάματα. Αὐτῶν ταῖς ἱκεσίαις, Χριστὲ ὁ Θεὸς ἡμῶν, τὴν εἰρήνην δώρησαι τῷ κόσμῳ σου, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Τῶν οὐρανίων ταγμάτων.

Ἁγιωτέρα ἁγίων πασῶν δυνάμεων, τιμιωτέρα πάσης, κτίσεως Θεοτόκε, Δέσποινα τοῦ κόσμου σῶσον ἡμᾶς, τὸν Σωτῆρα κυήσασα, ἀπὸ πταισμάτων μυρίων ὡς ἀγαθή, καὶ κινδύνων ταῖς πρεσβείαις σου.

Τὸ Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι, τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν (σελ. 13-14), τὸ ἀπολυτίκιον, Ἀπόστολος, Εὐαγγέλιον καὶ ἀπόλυσις.

---

Τῇ Δευτέρᾳ ἑσπέρας.

Μετὰ τὸν προοιμιακὸν Ψαλμὸν (σελ. 52) καὶ τὸ ἐνδιάτακτον κάθισμα τοῦ Ψαλτηρίου, εἰς τὸ Κύριε, ἐκέκραξα ψάλλομεν στιχηρὰ κατανυκτικὰ δεσποτικά.

Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.





Δός μοι μετανοίας λογισμόν, δὸς καὶ κατανύξεως πόθον, τῇ ταπεινῇ μου ψυχῇ· ἔγειρον ἐξ ὕπνου με, δεινῆς πωρώσεως, καὶ τὸ σκότος ἀπέλασον, τὸ τῆς ῥαθυμίας, καὶ τῆς ἀπογνώσεως, λῦσον τὴν ζόφωσιν, ὅπως ἀνανεύσας ὁ τάλας, σοὶ προσκολληθήσωμαι Λόγε, καὶ σοῦ τοῖς θελήμασι πορεύσωμαι.

Μόνε εὐδιάλλακτε Χριστέ, μόνε ὑπεράγαθε Λόγε, καὶ ἀνεξίκακε, σοὶ προσπίπτω εὔσπλαγχνε, σὲ ἱκετεύω θερμῶς, σοὶ κραυγάζω δεόμενος, ἡμάρτηκα σῶσον, σῶσόν με τὸν ἄσωτον, τῇ εὐσπλαγχνίᾳ σου, ὅπως εὐχαρίστως κραυγάζω· Κύριε, συγχώρησιν δός μοι, καὶ σοῦ τῇ χρηστότητι πορεύσομαι.

Πάντα ἅπερ ἥμαρτον εἰς σέ, λόγοις τε καὶ ἔργοις Θεέ μου, καὶ ἐνθυμήσεσι, πάντα ἐξαγγέλλω σοι, πάντα νῦν λέγω σοι· τὴν ἡμέραν παρῆλθον γάρ, καὶ πάντα τὸν χρόνον, νύκτα δὲ κατέλαβον, πλήρης ὑπάρχων κακῶν· ὅθεν σοὶ προσπίπτω κραυγάζων· Δέσποτά μου Δέσποτα Σῶτερ, ἥμαρτον συγχώρησον καὶ σῶσόν με.

Ἕτερα τοῦ Προδρόμου, ὅμοια.

Σπεῦσον ἐξελοῦ με πειρασμῶν, ἔνδοξε Κυρίου προφῆτα, καθικετεύω σε, μάτην γὰρ κεκίνηνται, οἱ πολεμοῦντές με, κατ᾽ ἐμοῦ πικροὶ δαίμονες, ζητοῦντες ἁρπάσαι, τὴν ψυχὴν τοῦ δούλου σου, ὥσπερ στρουθίον οἰκτρόν· μή με καταλίπῃς εἰς τέλος, γνώτωσαν δὲ μᾶλλον παμμάκαρ, ὅτι σύ μου πέλεις καταφύγιον.

Στείρας ὁ πανάγιος βλαστός, βλάστημα τερπνὸν τῆς ἐρήμου, ἡ χελιδὼν ἡ τερπνή, ἀηδὼν ἡ εὔλαλος, περιστερὰ ἡ χρυσῆ, τὴν στειρεύουσαν πάντοτε, ἀθλίαν ψυχήν μου, εὔκαρπον ἀνάδειξον ἀγαθῶν πράξεων, ὅπως ἐκβλαστάνουσα στάχυν, τὸν ἑκατοστεύοντα μάκαρ, ἔνθεον προσάξῃ σοι τὴν αἴνεσιν.

Ῥῦσαι αἰωνίου με πυρός, σκότους ἀφεγγοῦς καὶ ἀνάγκης, καὶ πάσης θλίψεως, πάσης κακουχίας τε, πάσης στενώσεως, ἱκετεύω σε Πρόδρομε, καὶ δεῖξον μερίδος, τὸν αὐτοκατάκριτον, ὄντα τοῖς πταίσμασι, μάκαρ σῳζομένων εὐχαῖς σου, ἔνθα τῶν ἁγίων χορεῖαι, καὶ χαρὰ ὑπάρχει ἡ ἀνέκφραστος.

Δόξα, καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Θλίψεις καὶ δεινῶν ἐπαγωγαί, πάθη τε ποικίλα χειμάζει, τὴν ταπεινήν μου ψυχήν, Κόρη ἀπειρόγαμε, Μήτηρ Χριστοῦ τοῦ Θεοῦ· κυβερνῆτίς μοι φάνηθι, θαλάσσῃ τοῦ βίου, καὶ τὸν ἐπικείμενον, πράϋνον κλύδωνα, ὅρμῳ γαληνῷ μετανοίας, καὶ ἀναψυχῆς ὁδηγοῦσα, τὸν τῇ θείᾳ σκέπῃ σου προστρέχοντα.

Τὸ Φῶς ἱλαρόν, τὸ προκείμενον τῆς ἡμέρας καὶ τὸ Καταξίωσον (σελ. 58-60).

Ἀπόστιχα κατανυκτικά. Ἦχος β΄.

Ἥμαρτον εἰς σὲ Σωτήρ, ὡς ὁ ἄσωτος υἱός· δέξαι με Πάτερ μετανοοῦντα, καὶ ἐλέησόν με ὁ Θεός.





Στίχ. Πρὸς σὲ ἦρα τοὺς ὀφθαλμούς μου... (σελ. 60).

Κράζω σοι Χριστὲ Σωτήρ, τοῦ τελώνου τὴν φωνήν· ἱλάσθητί μοι ὥσπερ ἐκείνῳ, καὶ ἐλέησόν με ὁ Θεός.

Στίχ. Ἐλέησον ἡμᾶς, Κύριε... (σελ. 61).

Μαρτυρικόν.

Τῶν ἁγίων μαρτύρων, πρεσβευόντων ὑπὲρ ἡμῶν, καὶ τὸν Χριστὸν ὑμνούντων, πᾶσα πλάνη πέπαυται, καὶ τῶν ἀνθρώπων τὸ γένος, πίστει διασῴζεται.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς σὲ ἀνατίθημι, Μήτηρ τῆς ζωῆς, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Τὸ Νῦν ἀπολύεις (σελ. 61), τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν (σελ. 13-14), τὸ ἀπολυτίκιον τῆς ἑορτῆς ἢ τὸ παρόν, καὶ ἀπόλυσις.

Ἀπολυτίκιον. Ἦχος β΄.

Μνήμη δικαίου μετ᾽ ἐγκωμίων, σοὶ δὲ ἀρκέσει ἡ μαρτυρία τοῦ Κυρίου Πρόδρομε· ἀνεδείχθης γὰρ ὄντως καὶ προφητῶν σεβασμιώτερος, ὅτι καὶ ἐν ῥείθροις βαπτίσαι κατηξιώθης τὸν κηρυττόμενον· ὅθεν τῆς ἀληθείας ὑπεραθλήσας, χαίρων εὐηγγελίσω καὶ τοῖς ἐν ᾅδῃ, Θεὸν φανερωθέντα ἐν σαρκί, τὸν αἴροντα τὴν ἁμαρτίαν τοῦ κόσμου, καὶ παρέχοντα ἡμῖν τὸ μέγα ἔλεος.

Θεοτοκίον.

Θείας γεγόναμεν κοινωνοὶ φύσεως, διὰ σοῦ Θεοτόκε ἀειπάρθενε, Θεὸν γὰρ ἡμῖν σεσαρκωμένον τέτοκας· διὸ κατὰ χρέος σε πάντες, εὐσεβῶς μεγαλύνομεν.

### Τῇ Τρίτῃ πρωῒ εἰς τὸν Ὄρθρον.

Μετὰ τὸν ἑξάψαλμον (σελ. 26), τὸ Θεὸς Κύριος μετὰ τῶν στίχων αὐτοῦ καὶ τὸ ἀπολυτίκιον ὡς ἀνωτέρω.
Μετὰ δὲ τὴν πρώτην στιχολογίαν τοῦ Ψαλτηρίου ψάλλομεν τὰ παρόντα κατανυκτικὰ καθίσματα.

Ἦχος β'.

Ὡς κύματα θαλάσσης ἐπ' ἐμὲ ἐπανέστησαν αἱ ἀνομίαι μου, ὡς σκάφος ἐν πελάγει ἐγὼ μόνος χειμάζομαι, ὑπὸ πταισμάτων πολλῶν· ἀλλ' εἰς εὔδιον λιμένα ὁδήγησόν με Κύριε, διὰ τῆς μετανοίας καὶ σῶσόν με.

Ἐγὼ ὑπάρχω τὸ δένδρον τὸ ἄκαρπον Κύριε, κατανύξεως καρπὸν μὴ φέρων τὸ σύνολον, καὶ τὴν ἐκκοπὴν πτοοῦμαι, καὶ τὸ πῦρ ἐκεῖνο δειλιῶ τὸ ἀκοίμητον· διό σε ἱκετεύω, πρὸ ἐκείνης τῆς ἀνάγκης, ἐπίστρεψον καὶ σῶσόν με.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Εὐσπλαγχνίας ὑπάρχουσα πηγή, συμπαθείας ἀξίωσον ἡμᾶς Θεοτόκε· βλέψον εἰς λαὸν τὸν ἁμαρτήσαν-





τα, δεῖξον ὡς ἀεὶ τὴν δυναστείαν σου· εἰς σὲ γὰρ ἐλπίζοντες τὸ χαῖρε βοῶμέν σοι, ὥς ποτε ὁ Γαβριήλ, ὁ τῶν ἀσωμάτων ἀρχιστράτηγος.

Ἕτερα καθίσματα μετὰ τὴν δευτέραν στιχολογίαν.

Ἐλέησόν με, εἶπεν ὁ Δαβίδ, κἀγώ σοι κράζω· ἥμαρτον Σωτήρ, τὰς ἐμὰς ἁμαρτίας, διὰ τῆς μετανοίας ἐξαλείψας, ἐλέησόν με.

Ἐλέησόν με ὁ Θεός, ἐλέησόν με, ἐπὶ δυσὶν ἁμαρτήμασιν ὁ Δαβὶδ ἐθρήνει· ἐπὶ μυρίοις ἐγὼ πλημμελήμασι βοῶ σοι· ἐκεῖνος τὴν στρωμνὴν τοῖς δάκρυσιν ἔβρεχε, ἐγὼ δὲ ῥανίδα μίαν οὐ κέκτημαι· ἀπέγνωσμαι καὶ δέομαι, ἐλέησόν με ὁ Θεός, κατὰ τὸ μέγα σου ἔλεος.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Σὲ μεγαλύνομεν Θεοτόκε βοῶντες· χαῖρε ἡ πύλη ἡ κεκλεισμένη, δι' ἧς ἠνοίγη ἀνθρώποις, ὁ πάλαι παράδεισος.

Ἕτερα καθίσματα μετὰ τὴν τρίτην στιχολογίαν.
Τοῦ Προδρόμου. Εὐσπλαγχνίας ὑπάρχουσα.

Εὐσπλαγχνίας τὴν ἄφθονον πηγήν, Ἰορδάνου κατέδυσας ῥοαῖς Ἰωάννη, ὅθεν ἐκτενῶς καθικετεύω σε, πάθεσι πολλοῖς καταποντούμενον, πελάγει με τοῦ βίου, καθ' ἑκάστην χαλεπῶς, εὐπροσδέκτοις σου εὐχαῖς, ζωῆς πρὸς λιμένα χειραγώγησον.

Μαρτυρικόν.

Σὲ τὸν περιβάλλοντα τὸν οὐρανὸν ἐν νεφέλαις, ἔχοντες οἱ ἅγιοι περιβολὴν ἐν τῷ κόσμῳ, τὰς βασάνους τῶν ἀνόμων ὑπέμειναν, καὶ τὴν πλάνην τῶν εἰδώλων κατήργησαν· αὐτῶν ταῖς ἱκεσίαις, ἐλευθέρωσον τοῦ ἀοράτου ἐχθροῦ, Σωτὴρ καὶ σῶσον ἡμᾶς.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Ποία μήτηρ ἠκούσθη παρθένος, ποία δὲ παρθένος μήτηρ ἐγνωρίσθη; πάντα τὰ σὰ Θεοτόκε παράδοξα· διὰ τοῦτό σε πιστῶς μεγαλύνομεν.

Λέγομεν τὸν πεντηκοστὸν Ψαλμὸν (σελ. 16) καὶ ἔπειτα ἕνα ἐκ τῶν κατανυκτικῶν κανόνων (σελ. 150-173) καὶ τὴν Ὠδὴν τῆς Θεοτόκου (σελ. 36)· εἶτα τὸ

Ἐξαποστειλάριον. Ἦχος γ΄. Ὁ οὐρανὸν τοῖς ἄστροις.

Τὸν Πρόδρομον Ἰωάννην, καὶ βαπτιστὴν τοῦ Σωτῆρος, τὸν ἐν προφήταις προφήτην, καὶ τῆς ἐρήμου τὸ θρέμμα, τῆς Ἐλισάβετ τὸν γόνον, ἀνευφημήσωμεν πάντες.

Θεοτοκίον.

Καὶ σὲ μεσίτριαν ἔχω, πρὸς τὸν φιλάνθρωπον Θεόν, μή μου ἐλέγξῃ τὰς πράξεις, ἐνώπιον τῶν ἀγγέλων· παρακαλῶ σε Παρθένε, βοήθησόν μοι ἐν τάχει.

Εἶτα τοὺς Αἴνους (σελ. 37) καὶ τὴν μικρὰν Δοξολογίαν (σελ. 41).





Ἀπόστιχα τῶν Αἴνων κατανυκτικά. Ἦχος β΄.

Τῶν πεπραγμένων μοι δεινῶν ἐννοῶν τὰ ἄτοπα, ἐπὶ τοὺς σοὺς καταφεύγω οἰκτιρμούς, τελώνην μιμούμενος, καὶ πόρνην τὴν δακρύσασαν, καὶ τὸν ἄσωτον υἱόν· διὸ καὶ προσπίπτω σοι ἐλεῆμον, πρίν με καταδικάσῃς, φεῖσαί μου ὁ Θεός, καὶ ἐλέησόν με.

Στίχ. Ἐνεπλήσθημεν τὸ πρωΐ... (σελ. 43).

Τὰς ἀνομίας μου πάριδε Κύριε, ὁ ἐκ Παρθένου τεχθείς, καὶ τὴν καρδίαν μου καθάρισον, ναὸν αὐτὴν ποιῶν τοῦ ἁγίου σου Πνεύματος· μή με ἐξουδενώσῃς ἀπὸ τοῦ σοῦ προσώπου, ὁ ἀμέτρητον ἔχων τὸ ἔλεος.

Στίχ. Καὶ ἔστω ἡ λαμπρότης... (σελ. 43).

Μαρτυρικόν.

Ὑπὲρ Χριστοῦ παθόντες μέχρι θανάτου, ὦ ἀθλοφόροι μάρτυρες, ψυχὰς μὲν ἔχετε εἰς οὐρανοὺς ἐν χειρὶ Θεοῦ, καὶ κατὰ κόσμον ὅλον δορυφορεῖται ὑμῶν τὰ λείψανα· ἱερεῖς καὶ βασιλεῖς προσκυνοῦσι, καὶ λαοὶ πάντες ἐπαγαλλόμενοι, συνήθως βοῶμεν· Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τῶν ὁσίων αὐτοῦ.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Ὡσεὶ ἐλαία κατάκαρπος ἡ Παρθένος, ἐβλάστησέ σε τὸν καρπὸν τῆς ζωῆς, καρποφορεῖν τῷ κόσμῳ τὸ μέγα καὶ πλούσιον ἔλεος.

Τὸ Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι, τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν (σελ. 13-14), τὸ ἀπολυτίκιον, Ἀπόστολος, Εὐαγγέλιον καὶ ἀπόλυσις.

Τῇ Τρίτῃ ἑσπέρας.

Μετὰ τὸν προοιμιακὸν Ψαλμὸν (σελ. 52) καὶ τὸ ἐνδιάτακτον κάθισμα τοῦ Ψαλτηρίου, εἰς τὸ Κύριε, ἐκέκραξα ψάλλομεν στιχηρὰ κατανυκτικὰ δεσποτικά.

Ἦχος γ΄. Σῶσόν με Κύριε ὁ Θεός μου.

Ἥμαρτον Κύριε ὁ Θεός μου, ἥμαρτόν σοι, ἱλάσθητί μοι, μὴ ἀπώσῃ μὴ βδελύξῃ με Λόγε· ἀλλ' ὡς μόνος συμπαθής τε καὶ ἐλεήμων, πρόσδεξαί με μεταγνόντα, καὶ τὰ σὰ ποιεῖν με Σῶτερ δικαιώματα, ὡς μόνος εὔσπλαγχνος ἐνδυνάμωσον.

Πρόφθασον Κύριε ἐξελοῦ με, ἐκ χειρὸς τοῦ ἀντικειμένου, καὶ γὰρ θέλων ἐδουλώθην τῷ πλάνῳ, καὶ ἀπέστην ἐκ τῶν ἐντολῶν σου οἰκτίρμον· δός μοι χρόνον μετανοίας, καὶ πρὸς φῶς ἀνάγαγέ με κατανύξεως, ὅπως πενθήσω μου, τὴν ἀπόπτωσιν Σῶτερ.

Λύτρωσαι Κύριε ὁ Θεός μου, ἐκ πωρώσεως τὴν ψυχήν μου, καὶ παράσχου τῶν δακρύων μοι ὄμβρους, ἵνα πλύνω τῶν ἀνομιῶν μου τὰ αἴσχη· αὔγασόν με τὸν ἐν τῷ σκότει, φῶς τῆς σῆς δώρησαι Σωτήρ μου ἐπιγνώσεως, ὅπως πορεύσωμαι, ἐν σεπταῖς ἐντολαῖς σου.





Ἕτερα στιχηρὰ σταυρώσιμα. Μεγάλη τοῦ σταυροῦ σου.

Ἡ κτίσις ἠλλοιώθη Λόγε τῇ σταυρώσει σου, ὁ ἥλιος ἀκτῖνας, συνέστειλε τῷ φόβῳ, καὶ ναοῦ τὸ καταπέτασμα ἐσχίσθη, καὶ πᾶς πιστὸς σέσωσται· ὅθεν δοξάζομεν, σοῦ τὸν ἄμετρον πλοῦτον.

Ὁ σάρκα τὴν ἡμῶν δι' οἶκτον προσλαβόμενος, Θεός τε καὶ Δεσπότης, τῷ ξύλῳ προσεπάγη, καὶ ἀνύψωσεν ἡμᾶς κατερραγμένους, ἀνυψωθεὶς σώματι, ὥσπερ ηὐδόκησε, διὰ σπλάγχνα ἐλέους.

Ῥανίδες θεορρύτου αἵματος καὶ ὕδατος, ἀνέπλασαν τὸν κόσμον, χυθεῖσαι ἐκ πλευρᾶς σου· τῷ μὲν ὕδατι ἐκπλύνεις ὡς οἰκτίρμων, πάντων τὰς ἁμαρτίας Κύριε, τῷ δὲ αἵματι, τὴν συγχώρησιν γράφεις.

Δόξα, καὶ νῦν. Σταυροθεοτοκίον, ὅμοιον.

Ῥομφαία τὴν καρδίαν σου διῆλθε πάναγνε, ἡνίκα τὸν Υἱόν σου, ἐπὶ σταυροῦ προσέβλεψας, καὶ ἐβόας· Μὴ ἄτεκνόν με δείξῃς, Υἱέ μου καὶ Θεέ μου, ὁ συντηρήσας με, μετὰ τόκον παρθένον.

Τὸ Φῶς ἱλαρόν, τὸ προκείμενον τῆς ἡμέρας καὶ τὸ Καταξίωσον (σελ. 58-60).

Ἀπόστιχα κατανυκτικά. Ἦχος γ΄.

Ἑσπερινὸν ὕμνον προσφερομέν σοι Χριστέ, μετὰ θυμιάματος καὶ ᾠδῶν πνευματικῶν· ἐλέησον Σωτὴρ τὰς ψυχὰς ἡμῶν.

Στίχ. Πρὸς σὲ ἦρα τοὺς ὀφθαλμούς μου... (σελ. 60).

Σῶσόν με Κύριε ὁ Θεός μου, σὺ γὰρ πάντων ἡ σωτηρία· ὁ κλύδων με τῶν παθῶν ἐκταράττει, καὶ τὸ βάρος τῶν ἀνομιῶν με βυθίζει· δός μοι χεῖρα βοηθείας, καὶ πρὸς φῶς ἀνάγαγέ με κατανύξεως, ὡς μόνος εὔσπλαγχνος καὶ φιλάνθρωπος.

Στίχ. Ἐλέησον ἡμᾶς, Κύριε... (σελ. 61).

Σταυρώσιμον.

Τὸν σταυρόν σου προσκυνῶ Χριστὲ τὸν τίμιον, τὸν φύλακα τοῦ κόσμου, τὴν σωτηρίαν ἡμῶν τῶν ἁμαρτωλῶν, τὸ μέγα ἱλαστήριον, τοῦ βασιλέως τὸ νῖκος, τὸ καύχημα πάσης τῆς οἰκουμένης.

Δόξα, καὶ νῦν. Σταυροθεοτοκίον.

Μεγάλη τοῦ σταυροῦ σου.

Σταυρῷ σε ἀναρτώμενον, Χριστέ μου ὡς ἑώρακεν, ἀμνὰς ἡ σὲ τεκοῦσα, ἡ ἄμωμος καὶ Μήτηρ σου, ὠλοφύρετο κλαυθμῷ καὶ ἀνεβόα· Μή με δείξῃς ἄτεκνον, ἣν ἐφύλαξας, ἁγνὴν καὶ μετὰ τόκον.

Τὸ Νῦν ἀπολύεις (σελ. 61), τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν (σελ. 13-14), τὸ ἀπολυτίκιον τῆς ἑορτῆς ἢ τὸ παρόν, καὶ ἀπόλυσις.

Ἀπολυτίκιον. Ἦχος α΄.

Σῶσον Κύριε τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου, νίκας τοῖς βασιλεῦσι, κατὰ βαρβάρων





δωρούμενος, καὶ τὸ σὸν φυλάττων, διὰ τοῦ σταυροῦ σου πολίτευμα.

Σταυροθεοτοκίον.

Οἱ τὴν σὴν προστασίαν κεκτημένοι ἄχραντε, καὶ ταῖς σαῖς ἱκεσίαις, τῶν δεινῶν ἐκλυτρούμενοι, τῷ σταυρῷ τοῦ Υἱοῦ σου ἐν παντὶ φρουρούμενοι, κατὰ χρέος σε πάντες, εὐσεβῶς μεγαλύνομεν.

### Τῇ Τετάρτῃ πρωῒ εἰς τὸν Ὄρθρον.

Μετὰ τὸν ἑξάψαλμον (σελ. 26), τὸ **Θεὸς Κύριος** μετὰ τῶν στίχων αὐτοῦ καὶ τὸ ἀπολυτίκιον ὡς ἀνωτέρω.

Μετὰ δὲ τὴν πρώτην στιχολογίαν τοῦ Ψαλτηρίου ψάλλομεν τὰ παρόντα κατανυκτικὰ καθίσματα.

Ἦχος γ΄.

Παροικοῦσα ἐν γῇ, ψυχή μου μετανόησον· χοῦς ἐν τάφῳ οὐχ ὑμνεῖ, πταισμάτων οὐ λυτροῦται· βόησον Χριστῷ τῷ Θεῷ· Καρδιογνῶστα ἥμαρτον, πρίν με καταδικάσῃς, φεῖσαί μου ὁ Θεός, καὶ ἐλέησόν με.

Ἕως πότε ψυχή μου ἐπιμένεις τοῖς πταίσμασιν; ἕως τίνος λαμβάνεις μετανοίας ὑπέρθεσιν; λάβε κατὰ νοῦν τὴν κρίσιν τὴν μέλλουσαν, βόησον Χριστῷ τῷ Θεῷ· Καρδιογνῶστα ἥμαρτον, ἀναμάρτητε Κύριε ἐλέησόν με.

Δόξα, καὶ νῦν. Σταυροθεοτοκίον.

Ῥάβδον δυνάμεως κεκτημένοι, τὸν σταυρὸν τοῦ Υἱοῦ σου Θεοτόκε, ἐν αὐτῷ καταβαλοῦμεν, τῶν ἐχθρῶν τὰ φρυάγματα, οἱ πόθῳ σε ἀπαύστως μεγαλύνοντες.

Ἕτερα καθίσματα μετὰ τὴν δευτέραν στιχολογίαν.

Τὸν βυθὸν τῶν πταισμάτων μου, σὺ γινώσκεις Κύριε· δός μοι χεῖρα ὡς τῷ Πέτρῳ, καὶ σῶσόν με.

Δικαίας κρίσεως ἐπερχομένης, καὶ τοῦ Κριτοῦ τῶν ὅλων δικάζοντος, ποίαν ἀπολογίαν δώσεις ψυχή μου, εἰ μὴ πρὸ τοῦ τέλους βοήσῃς· Ἥμαρτον ὁ Θεός, καὶ ἐλέησόν με.

Δόξα, καὶ νῦν. Σταυροθεοτοκίον. Τὴν ὡραιότητα.

Ἡ ἀπειρόγαμος, ἁγνὴ καὶ Μήτηρ σου, Χριστὲ ὁρῶσά σε, νεκρὸν κρεμάμενον, ἐπὶ τοῦ ξύλου μητρικῶς, θρηνολογοῦσα ἔλεγε· Τί σοι ἀνταπέδωκε, τῶν Ἑβραίων ὁ ἄνομος, δῆμος καὶ ἀχάριστος, ὁ πολλῶν καὶ μεγάλων σου, Υἱέ μου δωρεῶν ἀπολαύσας; ὑμνῶ σου τὴν θείαν συγκατάβασιν.

Ἕτερα καθίσματα μετὰ τὴν τρίτην στιχολογίαν.
Τὴν ὡραιότητα.

Σταυρὸν ὑπέμεινας, ἀτίμως Δέσποτα, ὁ ὑπερέκεινα, πάσης τῆς κτίσεως, ὅπως τιμήσῃς με τὸ πρίν, δεινῶς ἀτιμασθέντα, λόγχῃ τὴν πλευράν σου δέ, ἐκεντήθης μακρόθυμε, θέλων ἐκλυτρώσασθαι, τῆς φθορᾶς με τὸ πλάσμα σου· ὑμνῶ σου τὴν πολλὴν εὐσπλαγχνίαν, καὶ τὴν ἀγαθότητα φιλάνθρωπε.





Μαρτυρικόν.

Θωρακισάμενοι, τὴν πανοπλίαν Χριστοῦ, καὶ ἐνδυσάμενοι, ὅπλα τῆς πίστεως, τὰς παρατάξεις τοῦ ἐχθροῦ, ἀθλητικῶς κατεβάλετε· προθύμως τῇ ἐλπίδι γάρ, τῆς ζωῆς ὑπεμείνατε, πάσας τῶν τυράννων πρίν, ἀπειλάς τε καὶ μάστιγας· διὸ καὶ τοὺς στεφάνους ἐδέξασθε, μάρτυρες Χριστοῦ οἱ καρτερόψυχοι.

Δόξα, καὶ νῦν. Σταυροθεοτοκίον.

Ἀναρτηθέντα σε, ὡς ἐθεάσατο, ἐν ξύλῳ Δέσποτα, ἡ ἀπειρόγαμος, καὶ παναμώμητος ἁγνή, Παρθένος τε καὶ Μήτηρ σου, Οἴμοι! ἀνεβόα σοι, ὦ Υἱέ μου γλυκύτατε, πῶς σε ἀνομώτατος, δῆμος ξύλῳ κατέκρινε, τὸν πάντων Ποιητὴν καὶ Δεσπότην; ὑμνῶ σου τὴν ἄκραν ἀγαθότητα.

Λέγομεν τὸν πεντηκοστὸν Ψαλμὸν (σελ. 16) καὶ ἔπειτα ἕνα ἐκ τῶν κατανυκτικῶν κανόνων (σελ. 150-173) καὶ τὴν Ὠδὴν τῆς Θεοτόκου (σελ. 36)· εἶτα τὸ

Ἐξαποστειλάριον. Ἦχος β΄. Γυναῖκες ἀκουτίσθητε.

Τὸ ὅπλον τὸ ἀήττητον, τὸ στήριγμα τῆς πίστεως, σταυρὸν τὸν θεῖον ὑμνοῦμεν, καὶ προσκυνοῦμεν ἐν πίστει, τὸ μέγα καταφύγιον, Χριστιανῶν τὸ καύχημα,

τῶν ὀρθοδόξων φύλακα, καὶ ἀθλοφόρων τὸ κλέος, ἀξίως ἀνευφημοῦμεν.

Σταυροθεοτοκίον, ὅμοιον.

Παρισταμένη πάναγνε, ἐν τῷ σταυρῷ καὶ βλέπουσα, τὸν σὸν Υἱὸν ἐπὶ ξύλου, ταθέντα καὶ νεκρωθέντα, ὥσπερ μήτηρ ἠλάλαζες, δακρύουσα καὶ λέγουσα· Τί τοῦτο τὸ παράδοξον, ὅτι ὁ Κτίστης τοῦ κόσμου, σταυρῷ ταθῆναι ἠνέσχου;

Εἶτα τοὺς Αἴνους (σελ. 37) καὶ τὴν μικρὰν Δοξολογίαν (σελ. 41).

Ἀπόστιχα τῶν Αἴνων κατανυκτικά. Ἦχος γ΄.

Τὸν διεσπαρμένον μου νοῦν συνάγαγε Κύριε, καὶ τὴν χερσωθεῖσάν μου καρδίαν καθάρισον, ὡς τῷ Πέτρῳ διδοὺς μοι μετάνοιαν, ὡς τῷ τελώνῃ στεναγμόν, καὶ ὡς τῇ πόρνῃ δάκρυα, ἵνα μεγάλῃ τῇ φωνῇ κραυγάζω σοι· ὁ Θεὸς σῶσόν με, ὡς μόνος εὔσπλαγχνος καὶ φιλάνθρωπος.

Στίχ. Ἐνεπλήσθημεν τὸ πρωΐ... (σελ. 43).

Πολλάκις τὴν ὑμνῳδίαν ἐκτελῶν, εὑρέθην τὴν ἁμαρτίαν ἐκπληρῶν, τῇ μὲν γλώττῃ ᾄσματα φθεγγόμενος, τῇ δὲ ψυχῇ ἄτοπα λογιζόμενος· ἀλλ᾽ ἑκάτερα διόρθωσον, Χριστὲ ὁ Θεός, διὰ τῆς μετανοίας καὶ σῶσόν με.





Στίχ. Καὶ ἔστω ἡ λαμπρότης... (σελ. 43).

Μαρτυρικόν.

Βασιλέων καὶ τυράννων τὸν φόβον, ἀπώσαντο οἱ Χριστοῦ στρατιῶται, καὶ εὐθαρσῶς καὶ ἀνδρείως αὐτὸν ὡμολόγησαν, τῶν ἁπάντων Κύριον, Θεὸν καὶ Βασιλέα, καὶ πρεσβεύουσιν ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Δόξα, καὶ νῦν. Σταυροθεοτοκίον.

Ὁρῶσά σε κρεμάμενον, ἐν ξύλῳ ἡ πανάμωμος, Χριστέ μου ὑπεράγαθε, ὀδυρομένη ἐβόα μητρικῶς· Υἱέ μου παμφίλτατε, πῶς δῆμος ὁ ἄνομος, ξύλῳ σε κατέκρινε;

Τὸ Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι, τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν (σελ. 13-14), τὸ ἀπολυτίκιον, Ἀπόστολος, Εὐαγγέλιον καὶ ἀπόλυσις.

Τῇ Τετάρτῃ ἑσπέρας.

Μετὰ τὸν προοιμιακὸν Ψαλμὸν (σελ. 52) καὶ τὸ ἐνδιάτακτον κάθισμα τοῦ Ψαλτηρίου, εἰς τὸ Κύριε, ἐκέκραξα ψάλλομεν στιχηρὰ κατανυκτικὰ δεσποτικά.

Ἦχος δ΄. Ὡς γενναῖον ἐν μάρτυσι.

Δεῦρο τάλαινα πρόσπεσον, τῷ Θεῷ ἐν θερμότητι, τῶν δακρύων κράζουσα τὸ ἥμαρτηκα, ψυχὴ παμβέβηλε ἵλεων, τὸν Κριτὴν ἀπέργασαι, πρὸ τοῦ τέλους

καὶ αὐτῷ, ἐκ καρδίας ἀνάκραξον· Μὴ ἀπώσῃ μου, στεναγμοὺς ὁ Θεός μου, μὴ παρίδῃς, συντριβήν μου τῆς καρδίας, ὦ πολυεύσπλαγχνε Κύριε.

Ἐν νυκτὶ καὶ ἡμέρᾳ με, ὁ ἐχθρὸς ὁ παμπόνηρος, πολεμῶν οὐ παύεται δελεάσαι με, καὶ πρὸς ἀπώλειαν ἕλκει με, κακίας πρὸς βάραθρα, ἀλλ᾿ ὡς μόνος ἀγαθός, τῆς αὐτοῦ τυραννίδος με, ἀπολύτρωσαι, καὶ παντοίας ἀνάγκης Ἰησοῦ μου, ὑπεράγαθε καὶ σῶσον, ἐκ πολυτρόπων κολάσεων.

Οἰκητήριον γέγονα, λογισμῶν τῶν θλιβόντων με, καὶ ἀλλοτριούντων με ἐκ σοῦ Δέσποτα· τὰς ἐντολάς σου ἠθέτησα, ποιεῖν σου τὸ θέλημα, οὐκ ἠθέλησα ποτέ, ἀλλ᾿ εὐδόκησον Κύριε, ἐνοικῆσαί μοι, διὰ πλῆθος ἐλέους καὶ διδάξαι, τοῦ ποιεῖν τὸ θέλημά σου, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Ἕτερα τῶν ἀποστόλων, ὅμοια.

Στερροτάτῳ φρονήματι, στρατευσάμενοι ἔνδοξοι, κατὰ τοῦ ἀλάστορος παρετάξασθε, τῇ πανοπλίᾳ τοῦ Πνεύματος, γενναίως φραξάμενοι, καὶ τὴν ἅπασαν ἰσχύν, τῶν δαιμόνων ὀλέσαντες, ἀφηρπάσατε, τὰς ψυχὰς τῶν ἀνθρώπων ὥσπερ σκῦλα· διὰ τοῦτο εἰς αἰῶνας, ὑμᾶς τιμῶμεν ἀπόστολοι.

Σταυροτύπως ἁπλώσασα, τὴν σαγήνην τῆς πίστεως, δωδεκὰς ἡ θεία τῶν ἀποστόλων σου, πάντα τὰ ἔθνη ἐζώγρησε, Χριστὲ πρὸς ἐπίγνωσιν, καὶ θαλάσσας ἀλ-





μυράς, τῶν παθῶν ἀπεξήρανε· διὰ τοῦτό σε, δυσωπῶ τοῦ βυθοῦ με τῶν πταισμάτων, ἀνακάλεσαι ταῖς τούτων, πανευπροσδέκτοις δεήσεσι.

Δωδεκὰς ἡ θεόλεκτος, ἀποστόλων καὶ πάντιμος, εὐφημείσθω σήμερον, θείοις ᾄσμασι, Πέτρος καὶ Παῦλος Ἰάκωβος, Λουκᾶς Ἰωάννης τε, καὶ Ματθαῖος καὶ Θωμᾶς, Μᾶρκος Σίμων καὶ Φίλιππος, καὶ ὁ ἔνδοξος, νῦν Ἀνδρέας τιμάσθω σὺν τῷ θείῳ, καὶ σοφῷ Βαρθολομαίῳ, καὶ τοῖς λοιποῖς ἑβδομήκοντα.

Δόξα, καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Ἡ Θεὸν τὸν ἀχώρητον, ἐν γαστρί σου χωρήσασα, φιλανθρώπως ἄνθρωπον χρηματίσαντα, καὶ τὸ ἡμέτερον φύραμα, ἐκ σοῦ προσλαβόμενον, καὶ θεώσαντα σαφῶς, μὴ παρίδῃς με πάναγνε, νῦν θλιβόμενον, ἀλλ᾿ οἰκτείρησον τάχει καὶ παντοίας, δυσμενείας τε καὶ βλάβης, τοῦ πονηροῦ ἐλευθέρωσον.

Τὸ Φῶς ἱλαρόν, τὸ προκείμενον τῆς ἡμέρας καὶ τὸ Καταξίωσον (σελ. 58-60).

Ἀπόστιχα κατανυκτικά. Ἦχος δ᾿.

Ἤθελον δάκρυσιν ἐξαλεῖψαι, τῶν ἐμῶν πταισμάτων Κύριε τὸ χειρόγραφον, καὶ τὸ ὑπόλοιπον τῆς ζωῆς μου, διὰ μετανοίας εὐαρεστῆσαί σοι, ἀλλ᾿ ὁ ἐχθρὸς ἀπατᾷ με, καὶ πολεμεῖ τὴν ψυχήν μου· Κύριε, πρὶν εἰς τέλος ἀπόλωμαι, σῶσόν με.

Στίχ. Πρὸς σὲ ἦρα τοὺς ὀφθαλμούς μου... (σελ. 60).

Τίς χειμαζόμενος καὶ προστρέχων, τῷ λιμένι τούτῳ οὐ διασῴζεται; ἢ τίς ὀδυνώμενος καὶ προσπίπτων, τῷ ἰατρείῳ τούτῳ οὐ θεραπεύεται; Δημιουργὲ τῶν ἁπάντων, καὶ ἰατρὲ τῶν νοσούντων, Κύριε, πρὶν εἰς τέλος ἀπόλωμαι, σῶσόν με.

Στίχ. Ἐλέησον ἡμᾶς, Κύριε... (σελ. 61).

Μαρτυρικόν.

Ὁ ἐνδοξαζόμενος ἐν ταῖς μνείαις τῶν ἁγίων σου, Χριστὲ ὁ Θεός, ὑπ᾽ αὐτῶν δυσωπούμενος, κατάπεμψον ἡμῖν τὸ μέγα ἔλεος.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Ῥῦσαι ἡμᾶς ἐκ τῶν ἀναγκῶν ἡμῶν, Μήτηρ Χριστοῦ τοῦ Θεοῦ, ἡ τεκοῦσα τὸν τῶν ὅλων Ποιητήν, ἵνα πάντες κράζωμέν σοι· χαῖρε ἡ μόνη προστασία τῶν ψυχῶν ἡμῶν.

Τὸ Νῦν ἀπολύεις (σελ. 61), τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν (σελ. 13-14), τὸ ἀπολυτίκιον τῆς ἑορτῆς ἢ τὸ παρόν, καὶ ἀπόλυσις.

Ἀπολυτίκιον. Ἦχος γ΄.

Ἀπόστολοι ἅγιοι, πρεσβεύσατε τῷ ἐλεήμονι Θεῷ, ἵνα πταισμάτων ἄφεσιν, παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.





Ἕτερον. Ἦχος δ΄.

Κανόνα πίστεως, καὶ εἰκόνα πραότητος, ἐγκρατείας διδάσκαλον, ἀνέδειξέ σε τῇ ποίμνῃ σου, ἡ τῶν πραγμάτων ἀλήθεια· διὰ τοῦτο ἐκτήσω, τῇ ταπεινώσει τὰ ὑψηλά, τῇ πτωχείᾳ τὰ πλούσια, πάτερ ἱεράρχα Νικόλαε· πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Θεοτοκίον.

Τὸν Λόγον τοῦ Πατρός, Χριστὸν τὸν Θεὸν ἡμῶν, ἐκ σοῦ σαρκωθέντα ἔγνωμεν, Θεοτόκε Παρθένε, μόνη ἁγνή, μόνη εὐλογημένη· διὸ ἀπαύστως σε ἀνυμνοῦντες μεγαλύνομεν.

## Τῇ Πέμπτῃ πρωῒ εἰς τὸν Ὄρθρον.

Μετὰ τὸν ἑξάψαλμον (σελ. 26), τὸ Θεὸς Κύριος μετὰ τῶν στίχων αὐτοῦ καὶ τὸ ἀπολυτίκιον ὡς ἀνωτέρω.

Μετὰ δὲ τὴν πρώτην στιχολογίαν τοῦ Ψαλτηρίου ψάλλομεν τὰ παρόντα κατανυκτικὰ καθίσματα.

Ἦχος δ΄.

Τὴν ταπεινήν μου ψυχήν, ἐπίσκεψαι Κύριε, τὴν ἐν ἁμαρτίαις τὸν βίον ὅλον δαπανήσασαν· ὃν τρόπον τὴν πόρνην, δέξαι κἀμέ, καὶ σῶσόν με.

Διαπλέων τὸ πέλαγος τῆς παρούσης ζωῆς, ἐνθυμοῦμαι τὴν ἄβυσσον τῶν πολλῶν μου κακῶν, καὶ μὴ

ἔχων τὸν κυβερνήτην λογισμόν, τὴν τοῦ Πέτρου σοι προσφθέγγομαι φωνήν· σῶσόν με Χριστὲ ὁ Θεός, σῶσόν με ὡς φιλάνθρωπος.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ταχὺ προκατάλαβε.

Ταχὺ δέξαι Δέσποινα, τὰς ἱκεσίας ἡμῶν, καὶ ταύτας προσάγαγε, τῷ σῷ Υἱῷ καὶ Θεῷ, Κυρία πανάχραντε· λῦσον τὰς περιστάσεις, τῶν εἰς σὲ προστρεχόντων, σκέδασον τὰς ἐνέδρας, καὶ τὰ θράση Παρθένε, τῶν νῦν ἐφοπλιζομένων, κατὰ τῶν δούλων σου.

Ἕτερα καθίσματα μετὰ τὴν δευτέραν στιχολογίαν.
Ταχὺ προκατάλαβε.

Ταχὺ συνεισέλθωμεν, εἰς τὸν νυμφῶνα Χριστοῦ, καὶ πάντες ἀκούσωμεν, τῆς μακαρίας φωνῆς, αὐτοῦ τοῦ Θεοῦ ἡμῶν· δεῦτε οἱ ἀγαπῶντες, τὴν οὐράνιον δόξαν, μέτοχοι γεγονότες, τῶν φρονίμων παρθένων, φαιδρύνωμεν τὰς λαμπάδας ἡμῶν διὰ τῆς πίστεως.

Κατεπλάγη Ἰωσήφ.

Ἀναλόγισαι ψυχή, πῶς παραστῶμεν τῷ Κριτῇ· ἐν τῇ ὥρᾳ τῇ φρικτῇ, τίθενται θρόνοι φοβεροί, καὶ τῶν ἀνθρώπων αἱ πράξεις διελέγχονται· τότε ὁ Κριτὴς ἀδυσώπητος, πρὸ βήματος γὰρ πῦρ προπορεύεται, ὥσπερ ἀγρία θάλασσα σὺν ἤχῳ, κατακαλύπτον τοὺς πταίσαντας· ἀναλογίζου ταῦτα ψυχή μου, καὶ τὰ ἔργα σου εὔθυνον.





Δόξα, καὶ νῦν. Θεοτοκίον. Ταχὺ προκατάλαβε.

Ἐπάκουσον Δέσποινα, ἐκ κατωδύνου ψυχῆς, βοῶντος τοῦ δούλου σου, καὶ τῶν πολλῶν μου κακῶν, παράσχου μοι ἄφεσιν· σὲ γὰρ ἔχω προστάτιν, ἐν νυκτὶ καὶ ἡμέρᾳ, λύτρωσαι Θεοτόκε, τοῦ πυρὸς τῆς γεέννης, καὶ στῆσον ἐκ δεξιῶν με, τοῦ σοῦ Υἱοῦ καὶ Θεοῦ.

Ἕτερα καθίσματα μετὰ τὴν τρίτην στιχολογίαν.
Ταχὺ προκατάλαβε.

Φωστῆρας εἰς τὰ πέρατα, τοὺς μαθητάς σου Χριστέ, ἀνέδειξας ἐκλάμποντας, ἐν τῷ κηρύγματι, ψυχὰς καταυγάζοντας, πλάνην τὴν τῶν εἰδώλων, δι᾽ αὐτῶν ἀμαυρώσας, δόγμασιν εὐσεβείας, καταλάμψας τὸν κόσμον. Αὐτῶν ταῖς ἱκεσίαις, σῶσον τὰς ψυχὰς ἡμῶν.

Μαρτυρικόν.

Τῶν ἐν ὅλῳ τῷ κόσμῳ μαρτύρων σου, ὡς πορφύραν καὶ βύσσον τὰ αἵματα, ἡ Ἐκκλησία σου στολισαμένη, δι᾽ αὐτῶν βοᾷ σοι Χριστὲ ὁ Θεός· Τῷ λαῷ σου τοὺς οἰκτιρμούς σου κατάπεμψον, εἰρήνην τῇ πολιτείᾳ σου δώρησαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Τῇ ἀνατραφείσῃ ἐν τῷ ναῷ, εἰς τὰ ἅγια τῶν ἁγίων, τῇ περιβεβλημένῃ τὴν πίστιν καὶ τὴν σοφίαν, καὶ τὴν ἄμεμπτον παρθενίαν, ὁ ἀρχιστράτηγος Γαβριήλ, προσέφερεν οὐρανόθεν τὸν ἀσπασμὸν καὶ τὸ χαῖρε· Χαῖρε εὐλογημένη, χαῖρε δεδοξασμένη, ὁ Κύριος μετὰ σοῦ.

Λέγομεν τὸν πεντηκοστὸν Ψαλμὸν (σελ. 16) καὶ ἔπειτα ἕνα ἐκ τῶν κατανυκτικῶν κανόνων (σελ. 150-173) καὶ τὴν Ὠδὴν τῆς Θεοτόκου (σελ. 36)· εἶτα τὸ

Ἐξαποστειλάριον. Ἦχος γ'. Ὁ οὐρανὸν τοῖς ἄστροις.

Ἡ δωδεκὰς ἡ ἁγία, τῶν ἀποστόλων τὸ κλέος, σὺν τῷ σεπτῷ Νικολάῳ, καὶ ἱεράρχῃ Μυρέων, ὑπὲρ ἡμῶν τὸν Σωτῆρα, ἐκδυσωπεῖτε ἀπαύστως.

Θεοτοκίον, ὅμοιον.

Ἐλπὶς τῶν ἀπηλπισμένων, πανύμνητε Θεοτόκε, μετὰ δακρύων βοῶ σοι, ἐκ βάθους μου τῆς καρδίας· ἐξάρπασόν με Παρθένε, ἐκ τῶν τοῦ ᾅδου κευθμώνων.

Εἶτα τοὺς Αἴνους (σελ. 37) καὶ τὴν μικρὰν Δοξολογίαν (σελ. 41).

Ἀπόστιχα τῶν Αἴνων κατανυκτικά. Ἦχος δ'.

Πρόβατόν εἰμι τῆς λογικῆς σου ποίμνης, καὶ πρὸς σὲ καταφεύγω, τὸν ποιμένα τὸν καλόν, ζήτησόν με τὸν πλανηθέντα, ὁ Θεός, καὶ ἐλέησόν με.

Στίχ. Ἐνεπλήσθημεν τὸ πρωΐ... (σελ. 43).

Πλῦνόν με τοῖς δάκρυσί μου Σωτήρ, ὅτι ῥερύπωμαι ἐν πολλαῖς ἁμαρτίαις· διὸ καὶ προσπίπτω σοι, ἥμαρτον ἐλέησόν με ὁ Θεός.





Στίχ. Καὶ ἔστω ἡ λαμπρότης... (σελ. 43).

Μαρτυρικόν.

Τίς οὐκ ἐξίσταται ὁρῶν, ἅγιοι μάρτυρες, τὸν ἀγῶνα τὸν καλόν, ὃν ἠγωνίσασθε; πῶς ἐν σώματι ὄντες, τὸν ἀσώματον ἐχθρὸν ἐτροπώσασθε, Χριστὸν ὁμολογήσαντες, τῷ σταυρῷ ὁπλισάμενοι; ὅθεν ἀνεδείχθητε δαιμόνων φυγαδευταί, καὶ βαρβάρων πολέμιοι, ἀπαύστως πρεσβεύοντες, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Ἡ μόνη ἁγνὴ καὶ ἄχραντος Παρθένος, ἡ Θεὸν ἀφράστως κυήσασα, πρέσβευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τὸ Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι, τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν (σελ. 13-14), τὸ ἀπολυτίκιον, Ἀπόστολος, Εὐαγγέλιον καὶ ἀπόλυσις.

## Τῇ Πέμπτῃ ἑσπέρας.

Μετὰ τὸν προοιμιακὸν Ψαλμὸν (σελ. 52) καὶ τὸ ἐ διάτακτον κάθισμα τοῦ Ψαλτηρίου, εἰς τὸ Κύριε, ἐκέκραξα ψάλλομεν στιχηρὰ κατανυκτικὰ δεσποτικά.

Ἦχος πλ. α'. Χαίροις ἀσκητικῶν.

Οἴμοι τῷ παροργίσαντι σέ, τὸν ἐλεήμονα Θεόν μου καὶ Κύριον! ποσάκις ἐπηγγειλάμην, μετανοῆσαι

Χριστέ, καὶ ψευδὴς εὑρέθην ὁ ἀνόητος! τὸ πρὶν τοῦ βαπτίσματος, κατερρύπωσα ἔνδυμα, τῶν συνθηκῶν τε, τῶν πρὸς σέ μου ἠλόγησα, καὶ τὸ δεύτερον, πάλιν τοῦτο ἐπάγγελμα, ὅ σοι καθωμολόγησα, ἀγγέλων ἐνώπιον, καὶ τῶν ἀνθρώπων τὸ σχῆμα, τὸ πένθιμον ἐνδυόμενος, εἰμὶ ἀθετήσας· λοιπὸν Σῶτερ μὴ εἰς τέλος, ἀφῇς ὀλέσθαι με.

Ποίαν ἀπολογίαν ψυχή, ἔχεις ἀθλία ἐν ἡμέρᾳ τῆς κρίσεως, ἢ τίς σε τῆς καταδίκης, τοῦ αἰωνίου πυρός, καὶ πασῶν βασάνων ἐξαιρήσεται; οὐδεὶς εἰ μὴ σὺ σαυτῇ, ἱλεώσῃ τὸν εὔσπλαγχνον, τὰς ἀθεμίτους, καταλείψασα πράξεις σου, καὶ θεάρεστον, κτησαμένη βιότευσιν, κλαίουσα καθ' ἑκάστην σου, τὰ ἄπειρα σφάλματα, ἅπερ καθ' ὥραν προσπταίεις, ἔργῳ καὶ λόγῳ ἐννοίᾳ τε, Χριστὸν αἰτουμένη, παρασχεῖν σοι τὴν τελείαν, τούτων συγχώρησιν.

Βίβλων ἀνοιγομένων Χριστέ, ἐν τῇ ἡμέρᾳ τῆς φρικτῆς παρουσίας σου, καὶ πάντων παριστaμένων, τῷ κριτηρίῳ τῷ σῷ, καὶ ἀποβλεπόντων τὴν ἀπόφασιν, πυρὸς πρὸ τοῦ βήματος, ἑλκομένου καὶ σάλπιγγος, σφοδρῶς ἠχούσης, τί ποιήσω ὁ ἄθλιος, ἐλεγχόμενος ὑπὸ τῆς συνειδήσεως, καὶ καταδικαζόμενος, εἰς φλόγα τὴν ἄσβεστον; δέομαι οὖν πρὸ τοῦ τέλους, λύσιν εὑρεῖν τῶν πταισμάτων μου, Χριστὲ ὁ Θεός μου, ὁ δωρούμενος τῷ κόσμῳ, τὸ μέγα ἔλεος.





Παῦσαι τοὺς πόνους θέλων βροτῶν, καὶ τὰ ὀνείδη ὑπεράγαθε Κύριε, Σωτήρ μου σταύρωσιν φέρεις, ἐπονειδίστου σφαγῆς, χολῆς δὲ ἐγεύσω ἀνεξίκακε, ἡμῶν τὴν πικρίαν, πᾶσαν ἐξαίρων τὴν κάκιστον, ἐπλήγης λόγχῃ, τὴν πλευρὰν τὴν ἀκήρατον, τὰς πληγὰς ἡμῶν, ὡς Δεσπότης ἰώμενος· ὅθεν νῦν ἀνυμνοῦμέν σου, τὴν ἔνδοξον σταύρωσιν, καὶ προσκυνοῦντες τιμῶμεν, λόγχην τὸν σπόγγον τὸν κάλαμον, δι' ὧν ἐδωρήσω, σοῦ τῷ κόσμῳ τὴν εἰρήνην, καὶ μέγα ἔλεος.

Φεῖσαι τοῦ σοῦ οἰκέτου Χριστέ, ἡνίκα μέλλει ἡ ψυχή μου τοῦ σώματος, προστάξει σου χωρισθῆναι, τοῦ ἀγαγόντος εἰς ἕν, τὸν χοῦν καὶ τὸ πνεῦμα θείῳ νεύματι· ἐχθρῶν ἀοράτων, ἐπιδρομῆς καὶ κακώσεως, ἐνεδρευόντων ἀφειδῶς διασπᾶσαί με, καὶ κατάβρωμα, ἑαυτῶν ἀπεργάσασθαι, ῥῦσαί με καὶ ἀξίωσον, τυχεῖν ἀναψύξεως, ἔνθα ἀπέδρα ὀδύνη, καὶ στεναγμός, ἔνθα πέφυκε, τρυφῆς ὁ χειμάρρους, καὶ φωνὴ ἑορταζόντων, καὶ ἀγαλλίασις.

Ὥραν τῆς τελευτῆς δεδοικώς, καὶ τῶν δαιμόνων τὴν φρικτὴν ἐπανάστασιν, βοῶ σοι ἐκ κατωδύνου, ψυχῆς ὁ τάλας ἐγώ· τὰς αὐτῶν παγίδας καὶ τὰ σκάνδαλα, τῇ σῇ δυναστείᾳ, Δέσποτα Κύριε σύντριψον, καὶ μὴ ἐάσῃς, τῆς αὐτῶν με σκαιότητος, παρανάλωμα, χρηματίσαι τὸν δοῦλόν σου· ἴδε μου τὴν κατήφειαν, καὶ πρόσχες τῇ θλίψει μου, καὶ τὴν ἀθλίαν ψυχήν μου, τῶν

ὀδυνῶν ἐλευθέρωσον, Θεὲ πανοικτίρμον, ὁ δωρούμενος τῷ κόσμῳ, τὸ μέγα ἔλεος.

Δόξα, καὶ νῦν. Σταυροθεοτοκίον, ὅμοιον.

Ὅλην ἀναλαβὼν τὴν ἐμήν, μορφὴν ὁ πλάστης καὶ Θεὸς ἐνεδύσατο, μορφῶσαι τὴν πρὶν πεσοῦσαν, μορφὴν Ἀδὰμ βουληθείς, ἐν σταυρῷ ὑψώθη ὡς ὑπεύθυνος, ἑκὼν καὶ τὰς χεῖρας, προσηλωθεὶς νῦν ἰάσατο, τὰς πρὶν τῷ ξύλῳ, παρειμένας τῆς βρώσεως· ὃν ἡ πάναγνος, θεωροῦσα ἠλάλαζε· Τίς ἐστιν ἡ τοσαύτη σου, Υἱέ μου ἀνείκαστος, μακροθυμία; οὐ φέρω, ἐπὶ σταυροῦ ἀναρτώμενον, ὁρᾶν σε τὸν πάντα, τῇ δρακὶ διακρατοῦντα, Χριστὲ τὰ σύμπαντα.

Τὸ Φῶς ἱλαρόν, τὸ προκείμενον τῆς ἡμέρας καὶ τὸ Καταξίωσον (σελ. 58-60).

Ἀπόστιχα κατανυκτικά. Ἦχος πλ. α΄.

Κύριε, ἁμαρτάνων οὐ παύομαι, φιλανθρωπίας ἀξιούμενος, οὐ γινώσκω· νίκησόν μου τὴν πώρωσιν, μόνε ἀγαθέ, καὶ ἐλέησόν με.

Στίχ. Πρὸς σὲ ἦρα τοὺς ὀφθαλμούς μου... (σελ. 60).

Κύριε, καὶ τὸν φόβον σου πτοοῦμαι, καὶ τὸ πονηρὸν ποιεῖν οὐ παύομαι· τίς ἐν δικαστηρίῳ, τὸν δικαστὴν οὐ πτοεῖται; ἢ τίς ἰαθῆναι βουλόμενος, τὸν ἰατρὸν παροργίζει ὡς κἀγώ; μακρόθυμε Κύριε, ἐπὶ τῇ ἀσθενείᾳ μου σπλαγχνίσθητι, καὶ ἐλέησόν με.





Στίχ. Ἐλέησον ἡμᾶς, Κύριε... (σελ. 61).

Μαρτυρικόν.

Τῶν ἐπιγείων ἁπάντων καταφρονήσαντες, καὶ τῶν βασάνων ἀνδρείως κατατολμήσαντες, τῶν μακαρίων ἐλπίδων οὐκ ἠστοχήσατε, ἀλλ᾽ οὐρανῶν βασιλείας κληρονόμοι γεγόνατε, πανεύφημοι μάρτυρες· ἔχοντες παρρησίαν πρὸς τὸν φιλάνθρωπον Θεόν, τῷ κόσμῳ τὴν εἰρήνην αἰτήσασθε, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Δόξα, καὶ νῦν. Σταυροθεοτοκίον. Χαίροις ἀσκητικῶν.

Λόγχη σου τὴν πλευρὰν ὦ Υἱέ, ὀρυττομένην καθορῶσα τιτρώσκομαι, τῆς λύπης δεινῇ ῥομφαίᾳ, καὶ στεναγμὸν ἐκ ψυχῆς, προϊέναι ὅλως οὐ δεδύνημαι, ἡ Πάναγνος ἔλεγε, παρεστῶσα τῷ πάθει σου, καὶ τὴν σφαγήν σου, καθορῶσα τὴν ἄδικον, ἀνεξίκακε ὑπεράγαθε Κύριε· ποῦ μοι τὰ εὐαγγέλια, βοῶσα σὺν δάκρυσι, ποῦ ὁ τὸ χαῖρέ μοι λέξας; ποῦ ἡ λοχεία ἡ ἄφραστος; ποῦ Πέτρος ὁ φίλος; ἀλλὰ δόξα τῇ ἀφάτῳ, μακροθυμίᾳ σου.

Τὸ Νῦν ἀπολύεις (σελ. 61), τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν (σελ. 13-14), τὸ ἀπολυτίκιον τῆς ἑορτῆς ἢ τὸ παρόν, καὶ ἀπόλυσις.

Ἀπολυτίκιον. Ἦχος α΄.

Σῶσον Κύριε τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου, νίκας τοῖς βασιλεῦσι, κατὰ βαρβάρων δωρούμενος, καὶ τὸ σὸν φυλάττων, διὰ τοῦ σταυροῦ σου πολίτευμα.

Σταυροθεοτοκίον.

Οἱ τὴν σὴν προστασίαν κεκτημένοι ἄχραντε, καὶ ταῖς σαῖς ἱκεσίαις, τῶν δεινῶν ἐκλυτρούμενοι, τῷ σταυρῷ τοῦ Υἱοῦ σου ἐν παντὶ φρουρούμενοι, κατὰ χρέος σε πάντες, εὐσεβῶς μεγαλύνομεν.

Τῇ Παρασκευῇ πρωῒ εἰς τὸν Ὄρθρον.

Μετὰ τὸν ἑξάψαλμον (σελ. 26), τὸ Θεὸς Κύριος μετὰ τῶν στίχων αὐτοῦ καὶ τὸ ἀπολυτίκιον ὡς ἀνωτέρω.

Μετὰ δὲ τὴν πρώτην στιχολογίαν τοῦ Ψαλτηρίου ψάλλομεν τὰ παρόντα κατανυκτικὰ καθίσματα.

Ἦχος πλ. α΄.

Κριτοῦ καθεζομένου, καὶ ἀγγέλων ἑστώτων, σάλπιγγος ἠχούσης, καὶ φλογὸς καιομένης, τί ποιήσεις ψυχή μου, ἀπαγομένη εἰς κρίσιν; τότε γὰρ τὰ δεινά σου παρίστανται, τὰ κρυπτά σου ἐλέγχονται ἐγκλήματα· διὸ πρὸ τέλους βόησον· Ὁ Θεὸς ἱλάσθητί μοι καὶ σῶσόν με.

Ψυχή, τὰ ὧδε πρόσκαιρα, τὰ δὲ ἐκεῖ αἰώνια· ὁρῶ τὸ δικαστήριον, καὶ ἐπὶ θρόνου τὸν Κριτήν, καὶ τρέμω τὴν ἀπόφασιν· λοιπὸν σπουδῇ ἐπίστρεψον, ἡ κρίσις ἀσυγχώρητος.





Δόξα, καὶ νῦν. Σταυροθεοτοκίον.

Τῷ σταυρῷ τοῦ Κυρίου παρισταμένη, θρηνῳδοῦσα ἐβόα ἡ Θεοτόκος· Οἴμοι τέκνον μου θεῖον, φῶς μου γλυκύτατον! πῶς ἐτανύσθης ἐν σταυρῷ, ὁ τείνας θεϊκῶς, τὸν οὐρανὸν ὡσεὶ δέρριν, καὶ ἐκ θαλάσσης ἀνάγων, πηγὰς ὑδάτων τῷ σῷ προστάγματι;

Ἕτερα καθίσματα μετὰ τὴν δευτέραν στιχολογίαν.

Θρήνησον ψυχή μου, τὴν ἑαυτῆς ῥαθυμίαν, θέλησον λοιπὸν πρὸ τελευτῆς ἐπιστρέψαι, θορύβων ἀπόστηθι βιοτικῶν, Θεῷ προσκολλήθητι τῷ ἀγαθῷ, καὶ σώσει σε, ὡς μόνος φιλάνθρωπος.

Ἐν κλίνῃ κατακείμενος, ἁμαρτημάτων πολλῶν, συλῶμαι τὴν ἐλπίδα τῆς σωτηρίας μου, ὁ γὰρ ὕπνος τῆς ἐμῆς ῥαθυμίας, προξενεῖ μου τῇ ψυχῇ τιμωρίαν· ἀλλὰ σὺ ὁ Θεός, ὁ τεχθεὶς ἐκ Παρθένου, διέγειρόν με πρὸς τὴν σὴν ὑμνῳδίαν, ἵνα δοξάζω σε.

Δόξα, καὶ νῦν. Σταυροθεοτοκίον.
Τὸν συνάναρχον Λόγον.

Ἐν τῷ σταυρῷ σε ὁρῶσα Χριστὲ ἡ Μήτηρ σου, ἑκουσίως παγέντα ἀμνὸν ὡς ἄκακον, θρῆνον ἐκίνει γοερόν, καὶ κατετρύχετο, Οἴμοι! βοῶσα τὸ ἐμόν, πῶς ἀπεσβέσθη φῶς πικρῶς, καὶ πῶς ὡς ἄδικος θνήσκεις, μέσον κακούργων Υἱέ μου, ὁ βασιλεὺς πάσης τῆς κτίσεως;

Ἕτερα καθίσματα μετὰ τὴν τρίτην στιχολογίαν.
Σταυρώσιμον. Τὸν συνάναρχον Λόγον.

Ἐκ τοῦ ξύλου πικρίαν Ἀδὰμ ἐτρύγησε, πρὸς φθορὰν ὀλισθήσας φθόνῳ τοῦ ὄφεως, σοῦ δὲ παγέντος Ἰησοῦ ζωὴν ἐτρύγησε, καὶ διὰ ξύλου τοῦ σταυροῦ, πάλιν οἰκεῖ τοὺς οὐρανούς, καὶ κατηργήθη ὁ ὄφις, καὶ ἡ φθορὰ κατεπόθη, καὶ πάντες δόξαν σοι προσάγομεν.

Μαρτυρικόν.

Τῶν ἁγίων Μαρτύρων τὰ κατορθώματα, οὐρανῶν αἱ δυνάμεις ὑπερεθαύμασαν, ὅτι ἐν σώματι θνητῷ, τὸν ἀσώματον ἐχθρόν, τῇ δυνάμει τοῦ σταυροῦ, ἀγωνισάμενοι καλῶς, ἐνίκησαν ἀοράτως, καὶ πρεσβεύουσι τῷ Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα, καὶ νῦν. Σταυροθεοτοκίον.

Γαβριὴλ μοι τὸ χαῖρε πρὶν προσεκόμισε, μετ' ἐμοῦ σε φωνήσας ἔσεσθαι Κύριε, ἡ Θεοτόκος ἐν κλαυθμῷ πικρῶς ἐφθέγγετο· πῶς οὖν εἰς λύπην ἡ χαρά, νῦν μοι ἐγένετο Υἱέ, καὶ πῶς ὡς ἄπαις φανοῦμαι, ἡ ἀπειράνδρως τεκοῦσα, σὲ τὸν Σωτῆρα τῶν ψυχῶν ἡμῶν;

Λέγομεν τὸν πεντηκοστὸν Ψαλμὸν (σελ. 16) καὶ ἔπειτα ἕνα ἐκ τῶν κατανυκτικῶν κανόνων (σελ. 150-173) καὶ τὴν Ὠδὴν τῆς Θεοτόκου (σελ. 36)· εἶτα τὸ

Ἐξαποστειλάριον. Αὐτόμελον. Ἦχος β'.

Σταυρὸς ὁ φύλαξ πάσης τῆς οἰκουμένης, σταυρὸς ἡ ὡραιότης τῆς Ἐκκλησίας, σταυρὸς βασιλέων τὸ κραταίωμα, σταυρὸς πιστῶν τὸ στήριγμα, σταυρὸς ἀγγέλων ἡ δόξα, καὶ τῶν δαιμόνων τὸ τραῦμα.





Σταυροθεοτοκίον.

Ἐν τῷ σταυρῷ παρεστῶσα, ἡ σὲ ἀσπόρως τεκοῦσα, καὶ θρηνῳδοῦσα ἐβόα· Οἴμοι! γλυκύτατον τέκνον, πῶς ἔδυς ἐξ ὀφθαλμῶν μου, πῶς ἐν νεκροῖς ἐλογίσθης;

Εἶτα τοὺς Αἴνους (σελ. 37) καὶ τὴν μικρὰν Δοξολογίαν (σελ. 41).

Ἀπόστιχα τῶν Αἴνων κατανυκτικά. Ἦχος πλ. α'.

Οἴμοι! τί ὡμοιώθην ἐγὼ τῇ ἀκάρπῳ συκῇ, καὶ πτοοῦμαι τὴν κατάραν σὺν τῇ ἐκκοπῇ; ἀλλ' ἐπουράνιε γεωργέ, Χριστὲ ὁ Θεός, τὴν χερσωθεῖσάν μου ψυχήν, καρποφόρον ἀνάδειξον, καὶ ὡς τὸν ἄσωτον υἱὸν δέξαι με, καὶ ἐλέησόν με.

Στίχ. Ἐνεπλήσθημεν τὸ πρωΐ... (σελ. 43).

Τὰ πλήθη τῶν πταισμάτων μου πάριδε Κύριε, ὁ ἐκ Παρθένου τεχθείς, καὶ πάσας ἐξάλειψον τὰς ἀνομίας μου, λογισμόν μοι παρέχων ἐπιστροφῆς, ὡς μόνος φιλάνθρωπος δέομαι, καὶ ἐλέησόν με.

Στίχ. Καὶ ἔστω ἡ λαμπρότης... (σελ. 43).
Μαρτυρικόν.

Οἱ ἅγιοι μάρτυρες ἐπὶ τῆς γῆς ἠγωνίσαντο, τῷ ἀέρι ἐνεκαρτέρησαν, τῷ πυρὶ παρεδόθησαν, τὸ ὕδωρ αὐτοὺς ὑπεδέξατο· ἐκείνων ἐστὶν ἡ φωνή· Διήλθομεν διὰ

πυρὸς καὶ ὕδατος, καὶ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν. Ταῖς πρεσβείαις αὐτῶν, ὁ Θεός, ἐλέησον ἡμᾶς.

Δόξα, καὶ νῦν. Σταυροθεοτοκίον. Μακαρίζομέν σε.

Ὡς ἀμνόν σε Λόγε, ἡ ἀμνὰς καὶ Παρθένος, πρὸς σφαγὴν χωροῦντα, καθορῶσα ἐβόα· Ὢ ξένου τολμήματος! πῶς ἄνομοι σφάττουσι, τὸν τοὺς ἀνθρώπους ζωοῦντα; μέγα σου Υἱέ μου τὸ ἔλεος.

Τὸ Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι, τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν (σελ. 13-14), τὸ ἀπολυτίκιον, Ἀπόστολος, Εὐαγγέλιον καὶ ἀπόλυσις.

Τῇ Παρασκευῇ ἑσπέρας.

Μετὰ τὸν προοιμιακὸν Ψαλμὸν (σελ. 52) καὶ τὸ ἐνδιάτακτον κάθισμα τοῦ Ψαλτηρίου, εἰς τὸ Κύριε, ἐκέκραξα ψάλλομεν στιχηρὰ κατανυκτικὰ δεσποτικά.

Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.

Ὅλος ἐκ νεότητος, ταῖς ἡδοναῖς ἐδουλώθην, τῆς σαρκὸς καὶ γέγονα, παθῶν καταγώγιον, τυραννούντων με, τῆς ψυχῆς ὅλως δέ, ἀλογήσας Σῶτερ, ἐντολῶν σου κατεφρόνησα, ἀλλὰ ὁ πλάσας με, καὶ εἰδὼς ἡμῶν τὴν ἀσθένειαν, ὁ μόνος ἀναμάρτητος, δός μοι τὴν συγχώρησιν εὔσπλαγχνε, ὧνπερ ἐν ἀγνοίᾳ, καὶ γνώσει αἰσθητῶς καὶ νοητῶς, ἀπὸ νεότητος ἥμαρτον, μόνε εὐσυμπάθητε.

Τίς ἐκ τοῦ θανάτου με, τῆς ταλαιπώρου σαρκός μου, ῥύσεται καὶ σώσει μου, τὴν ψυχὴν ἀπήμονα





καὶ ἀπείραστον; τυραννεῖ βίᾳ γάρ, εὐπαθοῦσα αὕτη, καὶ ψυχῆς κατεξανίσταται, καὶ θλίβει πάλιν δέ, ἀσθενοῦσα· οἴμοι τῷ τάλανι! ἀντέχειν οὖν οὐ δύναμαι, πρὸς τὴν ταύτης Σῶτερ ἀσθένειαν· ἀλλ᾿ ὦ ποιητά μου, μὴ δώσῃς νικηθῆναι τῷ χοΐ, τὸ πνεῦμα ὅ μοι ἐνέπνευσας, ὡς αὐτὸς ηὐδόκησας.

Ὅταν τῇ προστάξει σου, ἐκ τῶν δεσμῶν τοῦ σαρκίου, βουληθῇς χωρίσαι μου, τὴν ψυχὴν ἀθάνατε, τότε φεῖσαί μου, προσηνῆ ἄγγελον, χαροποιῶς βλέποντα, ἀποστείλας παραλήψεσθαι, καὶ διασώσασθαι, ἀπὸ τῶν ἀρχόντων τοῦ σκότους με, εὐκόλως δυναμοῦντά με, τοῦ εὐθυπορῆσαι τὴν ἄνοδον, τὴν ἐν τῷ ἀέρι, καὶ φθάσαι εἰς προσκύνησιν τοῦ σοῦ, θρόνου φρικτοῦ ἀκατάκριτον, Θεὲ ὑπεράγαθε.

Ἕτερα. Ἡ ἀπεγνωσμένη.

Θρήνησον ψυχή μου πρὸ τῆς ἐξόδου, πρόσπεσον τῷ κτίστῃ ἐν μετανοίᾳ, δάκρυα προσάγαγε, ἐξ ὅλης τῆς καρδίας, κράξον Χριστῷ ἐν κατανύξει· Ἡμάρτηκά σοι Λόγε, δέξαι πολλὰ ἡμαρτηκότα, μή με ἀποβδελύξῃ, μὴ παρόψῃ με δικαιοκρῖτα, μηδὲ εἰς πῦρ με ἀποπέμψῃς μακρόθυμε, διὰ τὸ μέγα σου ἔλεος.

Ῥῦσαί με γεέννης ἀποκειμένης, ἐξελοῦ πυρός με τοῦ αἰωνίου, κριτὰ δικαιότατε, τὸν καταχεκριμένον, δεῖξον ἐκ ζάλης ἐναντίας, ἀνάλωτόν με Λόγε· τρέμω ὁ τάλας ἐννοῶν μου, τὸ τῶν πταισμάτων πλῆθος, καὶ

προσπίπτω σοι μετὰ δακρύων, καὶ συντριβῆς καρδίας, τὸ σὸν αἰτούμενος ἔλεος.

Ἕτερον τῆς Θεοτόκου, ὅμοιον.

Καταχαμπτομένην δυσφορωτάτῳ, βάρει τὴν ψυχήν μου, τῷ τῶν πταισμάτων, καὶ κατασυγκύπτουσαν, ἀνόρθωσον Παρθένε· σὺ γὰρ τὸν τοὺς κατερραγμένους, ἀνορθοῦντα Σωτῆρα, ἔχεις πειθόμενον εὐκόλως, μητρικῇ παρρησίᾳ· καὶ διάρρηξον σῇ μεσιτείᾳ, τῆς ἁμαρτίας τὸ χειρόγραφον δέομαι, διὰ τὸ μέγα σου ἔλεος.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ὅλην ἀποθέμενοι.

Σύμβολον ὀργῆς ἐστί, μνησικακία θυμός τε, τῆς ὀργῆς ἐμφάνεια, δι' ὧν καὶ τῶν ὕβρεων τὰ ἀλλόκοτα, ἀναιδῶς ἅλλονται, τοῦ οἰκτροῦ στόματος, τὸν ἐν τούτοις ἐνεργούμενον, ποιοῦντες ἔνοχον, πυρὸς τῆς γεέννης ὡς γέγραπται· διὸ ψυχὴ γρηγόρησον, φεῦγε τὸν θυμὸν τὸν πικρόν, τὴν ὀργὴν μῆνιν καὶ τὴν ὕβριν, καὶ πᾶσαν τὴν δυσώδη ἐκδρομήν, τῇ Θεοτόκῳ κραυγάζουσα· Δέσποινά μου σῶσόν με.

Τὸ Φῶς ἱλαρόν, τὸ προκείμενον τῆς ἡμέρας καὶ τὸ Καταξίωσον (σελ. 58-60).

Ἀπόστιχα κατανυκτικά. Ἦχος πλ. β'.

Μετάνοιαν οὐ κέκτημαι, ἀλλ' οὐδὲ πάλιν δάκρυα, διὰ τοῦτο ἱκετεύω σε Σωτήρ, πρὸ τέλους ἐπιστρέψαι, καὶ δοῦναί μοι μετάνοιαν, ὅπως ῥυσθήσωμαι τῆς κολάσεως.





Στίχ. Πρὸς σὲ ἦρα τοὺς ὀφθαλμούς μου... (σελ. 60).

Ἐν τῇ φρικτῇ παρουσίᾳ σου Χριστέ, μὴ ἀκούσωμεν Οὐκ οἶδα ὑμᾶς, τὴν γὰρ ἐλπίδα ἐπὶ σοὶ τῷ Σωτῆρι ἐθέμεθα, εἰ καὶ τὰ σὰ προστάγματα οὐ πράττομεν, διὰ τὴν ἀμέλειαν ἡμῶν· ἀλλὰ φεῖσαι τῶν ψυχῶν ἡμῶν δεόμεθα.

Στίχ. Ἐλέησον ἡμᾶς, Κύριε... (σελ. 61).

Μαρτυρικόν.

Οἱ μάρτυρές σου Κύριε, οὐκ ἠρνήσαντό σε, οὐκ ἀπέστησαν ἀπὸ τῶν ἐντολῶν σου· ταῖς αὐτῶν πρεσβείαις, ἐλέησον ἡμᾶς.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Πρεσβείαις τῆς τεκούσης σε, Χριστὲ καὶ τῶν μαρτύρων σου, ἀποστόλων, προφητῶν ἱεραρχῶν, ὁσίων καὶ δικαίων, καὶ πάντων τῶν ἁγίων, τοὺς κοιμηθέντας δούλους σου ἀνάπαυσον.

Τὸ Νῦν ἀπολύεις (σελ. 61), τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν (σελ. 13-14), τὸ ἀπολυτίκιον τῆς ἑορτῆς ἢ τὸ παρόν, καὶ ἀπόλυσις.

Ἀπολυτίκιον. Ἦχος β'.

Ἀπόστολοι μάρτυρες καὶ προφῆται, ἱεράρχαι ὅσιοι καὶ δίκαιοι, οἱ καλῶς τὸν ἀγῶνα τελέσαντες, καὶ τὴν πίστιν τηρήσαντες, παρρησίαν ἔχοντες πρὸς τὸν Σωτῆρα, ὑπὲρ ἡμῶν αὐτὸν ὡς ἀγαθὸν ἱκετεύσατε, σωθῆναι δεόμεθα τὰς ψυχὰς ἡμῶν.

Δόξα. Νεκρώσιμον.

Μνήσθητι Κύριε, ὡς ἀγαθὸς τῶν δούλων σου, καὶ ὅσα ἐν βίῳ ἥμαρτον, συγχώρησον· οὐδεὶς γὰρ ἀναμάρτητος, εἰ μὴ σὺ ὁ δυνάμενος, καὶ τοῖς μεταστᾶσι, δοῦναι τὴν ἀνάπαυσιν.

Καὶ νῦν. Θεοτοκίον.

Μήτηρ ἁγία, ἡ τοῦ ἀφράστου φωτός, ἀγγελικοῖς σε ὕμνοις τιμῶντες, εὐσεβῶς μεγαλύνομεν.

Τῷ Σαββάτῳ πρωῒ εἰς τὸν Ὄρθρον.

Μετὰ τὸν ἑξάψαλμον (σελ. 26), τὸ Θεὸς Κύριος μετὰ τῶν στίχων αὐτοῦ καὶ τὸ ἀπολυτίκιον ὡς ἀνωτέρω.

Μετὰ δὲ τὴν πρώτην στιχολογίαν τοῦ Ψαλτηρίου ψάλλομεν τὰ παρόντα κατανυκτικὰ καθίσματα.

Ἦχος πλ. β'.

Ἐννοῶ τὴν ἡμέραν τὴν φοβεράν, καὶ θρηνῶ μου τὰς πράξεις τὰς ῥυπαράς· πῶς ἀπολογήσομαι, τῷ ἀθανάτῳ βασιλεῖ; ποίᾳ δὲ παρρησίᾳ ἀτενίσω τῷ κριτῇ, ὁ ἄσωτος ἐγώ; εὔσπλαγχνε Πάτερ, Υἱὲ μονογενές, τὸ Πνεῦμα τὸ ἅγιον ἐλέησόν με.

Εἰς τὴν κοιλάδα τοῦ κλαυθμῶνος, εἰς τὸν τόπον ὃν διέθου, ὅταν καθίσῃς ἐλεῆμον, κρίσιν δικαίαν ποιῆσαι, μὴ δημοσιεύσῃς μου τὰ κεκρυμμένα, μηδὲ καταισχύ-





νῃς με ἐνώπιον τῶν ἀγγέλων, ἀλλὰ φεῖσαί μου ὁ Θεός, καὶ ἐλέησόν με.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Ἀρχὴ σωτηρίας ἡ τοῦ Γαβριὴλ προσηγορία, πρὸς τὴν Παρθένον γέγονεν· ἤκουσε γὰρ τὸ χαῖρε, καὶ οὐκ ἀπέφυγε τὸν ἀσπασμόν, οὐκ ἐδίστασεν ὡς ἡ Σάρρα ἐν τῇ σκηνῇ, ἀλλ' οὕτως ἔλεγεν· Ἰδοὺ ἡ δούλη Κυρίου, γένοιτό μοι κατὰ τὸ ῥῆμά σου.

Ἕτερα καθίσματα μετὰ τὴν δευτέραν στιχολογίαν.

Ψυχή, ῥαθύμως τὴν ζωὴν διανύουσα πᾶσαν, ἡμέραν κρίσεως φρικτὴν κατὰ νοῦν οὐ λαμβάνεις· ἀνάνηψον, καὶ τὴν μετάνοιαν ἑλοῦ, ἐπίστρεψον καὶ βόησον Χριστῷ· Οἰκτίρμον, μὴ μνησθῇς ἡμῶν πολλῶν ἁμαρτιῶν, ἐν ὥρᾳ καταδίκης.

Μαρτυρικόν. Ἀγγελικαὶ δυνάμεις.

Ἀθλητικαὶ ἐνστάσεις ἐπὶ τῷ σκάμματι, τυραννικαὶ αἰκίσεις ἐπὶ τοὺς μάρτυρας, καὶ ἵσταντο χοροὶ τῶν ἀσωμάτων, βραβεῖα κατέχοντες τῆς νίκης· ἐξέστησαν τυράννους, καὶ βασιλεῖς οἱ σοφοί, καθεῖλον τὸν Βελίαρ, ὁμολογίᾳ Χριστοῦ· ὁ ἐνισχύσας αὐτούς, Κύριε δόξα σοι.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Πολλὰ τὰ πλήθη τῶν ἐμῶν, Θεοτόκε πταισμάτων, πρὸς σὲ κατέφυγον ἁγνή, σωτηρίας δεόμενος· ἐπίσκεψαι τὴν ἀσθενοῦσάν μου ψυχήν, καὶ αἴτησαι τῷ Υἱῷ

σου καὶ Θεῷ ἡμῶν, δοθῆναί μοι τὴν ἄφεσιν, ὧν ἔπραξα δεινῶν, μόνη εὐλογημένη.

Λέγομεν τὸν πεντηκοστὸν Ψαλμὸν (σελ. 16) καὶ ἔπειτα ἕνα ἐκ τῶν κατανυκτικῶν κανόνων (σελ. 150-173) καὶ τὴν Ὠδὴν τῆς Θεοτόκου (σελ. 36)· εἶτα τὸ

Ἐξαποστειλάριον. Αὐτόμελον. Ἦχος γ΄.

Ὁ οὐρανὸν τοῖς ἄστροις, κατακοσμήσας ὡς Θεός, καὶ διὰ τῶν σῶν ἁγίων, πᾶσαν τὴν γῆν φωταγωγῶν, δημιουργὲ τῶν ἁπάντων, τοὺς ἀνυμνοῦντάς σε σῶζε.

Νεκρώσιμον, ὅμοιον.

Ὁ καὶ νεκρῶν καὶ ζώντων, ἐξουσιάζων ὡς Θεός, ἀνάπαυσον τοὺς σοὺς δούλους, ἐν ταῖς σκηναῖς τῶν ἐκλεκτῶν· εἰ γὰρ καὶ ἥμαρτον Σῶτερ, ἀλλ᾽ οὐκ ἀπέστησαν ἐκ σοῦ.

Θεοτοκίον, ὅμοιον.

Ὁ γλυκασμὸς τῶν ἀγγέλων, τῶν θλιβομένων ἡ χαρά, Χριστιανῶν ἡ προστάτις, Παρθένε Μήτηρ Κυρίου, ἀντιλαβοῦ μου καὶ ῥῦσαι, τῶν αἰωνίων βασάνων.

Εἶτα τοὺς Αἴνους (σελ. 37) καὶ τὴν μικρὰν Δοξολογίαν (σελ. 41).

Ἀπόστιχα τῶν Αἴνων κατανυκτικά. Ἦχος πλ. β΄.

Τὰ τῆς καρδίας μου τραύματα, ἐκ πολλῶν ἁμαρτημάτων φυέντα μοι, ἰάτρευσον Σωτήρ, ὁ τῶν ψυχῶν καὶ σωμάτων ἰατρός, παρέχων τοῖς αἰτοῦσι, πταισμάτων τὴν συγχώρησιν ἀεί· παράσχου μοι δάκρυα μετανοίας, διδούς μοι τὴν λύσιν τῶν ὀφλημάτων, Κύριε καὶ ἐλέησόν με.





Στίχ. Ἐνεπλήσθημεν τὸ πρωΐ... (σελ. 43).

Γυμνόν με εὑρὼν τῶν ἀρετῶν ὁ ἐχθρός, τῷ βέλει τῆς ἁμαρτίας ἔτρωσεν, ἀλλὰ σὺ ὡς ἰατρὸς ψυχῶν τε καὶ σωμάτων, τὰ τραύματα τῆς ψυχῆς μου θεράπευσον, ὁ Θεὸς καὶ ἐλέησόν με.

Στίχ. Καὶ ἔστω ἡ λαμπρότης... (σελ. 43).

Μαρτυρικόν.

Κύριε, εἰ μὴ τοὺς ἁγίους σου εἴχομεν πρεσβευτάς, καὶ τὴν ἀγαθότητά σου συμπαθοῦσαν ἡμῖν, πῶς ἐτολμῶμεν Σωτὴρ ὑμνῆσαί σε, ὃν εὐλογοῦσιν ἀπαύστως ἄγγελοι; καρδιογνῶστα, φεῖσαι τῶν ψυχῶν ἡμῶν.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ὅλην ἀποθέμενοι.

Ὤφθης ἐνδιαίτημα, θεοπρεπὲς Παναγία, Θεὸν γὰρ ἐχώρησας, καὶ Χριστὸν ἐγέννησας, ἀπειρόγαμε, βροτὸν ὁρώμενον, ἐν δυσὶν οὐσίαις, ἐν μιᾷ τῇ ὑποστάσει δέ, ὃν ἐκδυσώπησον, ὡς μονογενῆ καὶ πρωτότοκον, τὸν σὲ παρθένον ἄμωμον, καὶ μετὰ τὸν τόκον φυλάξαντα, ψυχὰς ἀναπαῦσαι, τῶν πίστει κοιμηθέντων ἐν φωτί, ἐν ἀκηράτῳ φαιδρότητι, καὶ μακαριότητι.

Τὸ Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι, τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν (σελ. 13-14), τὸ ἀπολυτίκιον, Ἀπόστολος, Εὐαγγέλιον καὶ ἀπόλυσις.

## ΚΑΝΟΝΕΣ ΚΑΤΑΝΥΚΤΙΚΟΙ
## ΨΑΛΛΟΜΕΝΟΙ ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

### Κανὼν κατανυκτικὸς

οὗ ἡ ἀκροστιχίς·
Τῶν πταισμάτων μου τὸν ῥύπον πλῦνον Λόγε. Ἰωσήφ.

Ὠδὴ α΄. Ἦχος α΄. Σοῦ ἡ τροπαιοῦχος δεξιά.

Τῶν ἁμαρτιῶν μου τὴν πληθύν, κατὰ τὸ πλῆθος Χριστὲ τοῦ ἐλέους σου, δέομαι ἐξάλειψον, καὶ λογισμὸν ἐπιστροφῆς μοι δώρησαι, ὅπως σου δοξάζω, τὴν ὑπὲρ νοῦν ἀγαθότητα.

Ὤφθης διὰ σπλάγχνα οἰκτιρμῶν, ἐπὶ τῆς γῆς σωματούμενος ἄνθρωπος· ὅθεν ὑπὲρ ἄνθρωπον, Λόγε Θεοῦ ἡμαρτηκότα δέξαι με, νῦν ἐν μετανοίᾳ, τοῖς οἰκτιρμοῖς σου προσπίπτοντα.

Μαρτυρικά.

Νέκρωσιν μιμούμενοι Χριστοῦ, τοῦ ἑκουσίως παθόντος καὶ θάνατον, πάθη ὑπεμείνατε, πολυειδῆ καὶ θάνατον ἀοίδιμοι· ὅθεν ἀθανάτου, ζωῆς ἐτύχετε μάρτυρες.





Πῦρ ἔνδον ἀγάπης θεϊκῆς, περιφανῶς περιφέροντες μάρτυρες, πῦρ οὐκ ἐπτοήθητε, ἀλλὰ θερμαῖς τῶν πόνων ἐπιδόσεσι, τῆς πολυθεΐας, τὴν ὕλην πᾶσαν ἐφλέξατε.

Θεοτοκίον.

Τάξεις ἀσωμάτων σὺν ἡμῖν, σὲ ἀνυμνοῦσι Παρθένε πανύμνητε· τὸν γὰρ ἀπερίληπτον, σωματωθέντα ἐν σῇ γαστρὶ τέτοκας, μείνασα παρθένος, ὡς πρὸ τοῦ τόκου Θεόνυμφε.

Ὠδὴ γ΄. Ὁ μόνος εἰδώς.

Ἀνάνηψον δεῦρο ὦ ψυχή, καὶ βόησον τῷ κτίστῃ σου, τῷ τὰ κρυπτά σου πάντα γινώσκοντι, καὶ μετανοίας καρποὺς ἐπίδειξαι, ὅπως ἐλεήσῃ σε, ὁ οἰκτίρμων Κύριος, καὶ πυρὸς αἰωνίου λυτρώσηται.

Ἱλάσθητι μόνε ἀγαθέ, ἱλάσθητι καὶ σῶσόν με, ὡς ὁ τελώνης φόβῳ κραυγάζω σοι, ἑσμὸν πταισμάτων ἐπισυρόμενος, καὶ καταχαμπτόμενος, βάρει παραπτώσεων, καὶ αἰσχύνης ἀμέτρου πληρούμενος.

Μαρτυρικά.

Σοφίᾳ καὶ γνώσει ἀληθεῖ, οἱ μάρτυρες πληρούμενοι, ἑλληνικὴν σοφίαν ἐμώραναν, τὸν σοφιστήν τε κακίας ὤλεσαν, καὶ στερρῶς ἀθλήσαντες, ἐπαξίως ἔλαβον, τοὺς τῆς νίκης στεφάνους γηθόμενοι.

Μονάδα μὲν φύσει ἀθληταί, Τριάδα τοῖς προσώποις δέ, ὁμολογοῦντες πλάνην πολύθεον, ἐνθέῳ πίστει

ἐξηφανίσατε, καὶ φωστῆρες ὤφθητε, πάντων καταυγάζοντες, τὰς καρδίας ἀκτῖσι τῆς χάριτος.

Θεοτοκίον.

Ἁγία Θεόνυμφε ἁγνή, ἁγίως ἀπεκύησας, τὸν ἐν ἁγίοις ἀναπαυόμενον, Υἱὸν καὶ Λόγον Πατρὶ συνάναρχον, τὸν καθαγιάζοντα, ἐν ἁγίῳ Πνεύματι, τοὺς αὐτὸν εὐσεβῶς ἁγιάζοντας.

Ὠδὴ δ'. Ὅρος σε τῇ χάριτι.

Τίνι σε ψυχή μου ὁμοιώσω ταλαίπωρε, ἐργαζομένην τὰ δεινά, καὶ μὴ ποιοῦσαν τὰ καλά; ἐπίστρεψον βόησον, τῷ διὰ σὲ ἐθελουσίως πτωχεύσαντι· Καρδιογνῶστα οἰκτείρησον σῶσόν με.

Ὥρισας μετάνοιαν Σωτὴρ ἐπιστρέφουσιν, ἥν μοι παράσχου ἀγαθέ, πρὸ τῆς τοῦ βίου τελευτῆς, διδούς μοι κατάνυξιν καὶ στεναγμόν, ὥσπερ τῇ πόρνῃ τὸ πρότερον, καταφιλούσῃ τὰ ἴχνη σου Δέσποτα.

Μαρτυρικά.

Ναμάτων τοῦ Πνεύματος, πλησθέντες οἱ μάρτυρες, ὕδατος ζῶντος ποταμοί, ὤφθησαν νεύσει θεϊκῇ, καὶ πλάνης ἐξήραναν, τοὺς θολεροὺς Χριστὲ χειμάρρους ἐν Πνεύματι, καὶ τῶν πιστῶν διανοίας κατήρδευσαν.

Μεγάλως οἱ θεῖοι ἠγωνίσαντο μάρτυρες· πῦρ γὰρ καὶ ξίφος καὶ δεινήν, πᾶσαν ὑπήνεγκαν ποινήν. Αὐτῶν παρακλήσεσι, Λόγε Θεοῦ μεγίστης ῥῦσαι κολάσεως, καὶ αἰωνίου τοὺς πίστει ὑμνοῦντάς σε.





Θεοτοκίον.

Ὁ πάλαι Πατρὸς ἐξ ἀγεννήτου, Υἱὸς γεννηθείς, γέννησιν ἔσχε χρονικήν, ἐκ σοῦ Παρθένε γεννηθείς, τὸν χρόνιον πόλεμον τῶν γηγενῶν, ἐξᾶραι θέλων ὡς εὔσπλαγχνος, ὁ ἡμερῶν τε καὶ χρόνων ἐπέκεινα.

Ὠδὴ ε'. Ὁ φωτίσας τῇ ἐλλάμψει.

Ὑπέπεσα τῶν παθῶν τῇ φθορᾷ καὶ πτοοῦμαί σου, τὸ δίκαιον δικαστήριον δίκαιε Κύριε· διὸ ἱκετεύω σε, ἐνίσχυσόν με τοῦ ποιῆσαι, πράξεις καλὰς δικαιούσας με.

Τὰ ἄδηλα καὶ τὰ κρύφια σὺ τῆς καρδίας μου ἐπίστασαι, ὁ Θεός μου καὶ πλάστης καὶ Κύριος· μὴ οὖν κατακρίνῃς με ἐν ὥρᾳ κρίσεως, ἡνίκα ἔρχῃ τοῦ κρῖναι τὰ σύμπαντα.

Μαρτυρικά.

Οἱ ἅγιοι ὁμιλοῦντες πυρί, τὸ διάπυρον ἐδείκνυον τῆς ἐνθέου αὐτῶν ἀγαπήσεως· ὅθεν δροσιζόμενοι, τῇ προσδοκίᾳ τῶν μελλόντων, οἱ θεοφόροι ἠγάλλοντο.

Νευρούμενοι ἀγαθῶν τῇ ἐλπίδι οἱ μάρτυρες, ὑπέφερον σπαραγμοὺς τῶν μελῶν καρτερώτατα, καὶ τὸν πολυμήχανον νευραῖς, τῆς τούτων ἀνενδότου, ὑπομονῆς ἐναπέπνιξαν.

Θεοτοκίον.

Ῥητορεῦον οὐ δυνήσεται στόμα, τοῦ τόκου σου τὸ ἄρρητον διηγήσασθαι θαῦμα Θεόνυμφε· τὸν γὰρ

ἀνερμήνευτον τίκτεις, καὶ φέρεις ἐν ἀγκάλαις, χειρὶ κρατοῦντα τὰ σύμπαντα.

Ὠδὴ ς΄. Ἐκύκλωσεν ἡμᾶς.

Ὑπάρχων ἰατρὸς Χριστὲ ἰάτρευσον, τὰ πάθη τῆς καρδίας μου, καὶ ἀπόπλυνον παντός με μολυσμοῦ, ῥείθροις Ἰησοῦ μου κατανύξεως, ἵνα ὑμνῶ καὶ μεγαλύνω, τὴν εὐσπλαγχνίαν σου.

Πλανώμενον ὁδοῖς τῆς ἀπωλείας με, καὶ βόθροις παραπτώσεων, περιπίπτοντα ἐπίστρεψον Χριστέ, καὶ πρὸς ἀπλανεῖς τρίβους εἰσάγαγε, σοῦ τῶν σεπτῶν δικαιωμάτων, ἵνα δοξάζω σε.

Μαρτυρικά.

Οἱ λίθοι ἀληθῶς οἱ πολυτίμητοι, τοῖς λίθοις συγχωνύμενοι, οὐκ ἠρνήσαντο τὴν πέτραν τῆς ζωῆς, οὐδὲ τοῖς γλυπτοῖς λίθοις ἐπέθυσαν, οἱ εὐκλεεῖς καὶ στεφηφόροι, Κυρίου μάρτυρες.

Νεώσαντες ψυχὰς ἀρότρῳ πίστεως, τὸν ἄσταχυν οἱ μάρτυρες, τῆς ἀθλήσεως ἐν Πνεύματι Θεοῦ, τὸν ἑκατοστεύοντα ἐξήνθησαν, καὶ τῆς τρυφῆς τῆς μακαρίας, κατηξιώθησαν.

Θεοτοκίον.

Πυρίνων λειτουργῶν τὸ πῦρ κυήσασα, ἐφάνης παναμώμητος, καὶ τῆς κτίσεως ἁπάσης πρωτουργός, πάναγνε Παρθένε ὑπερέχουσα, ἐν γυναιξὶν εὐλογημένη, θεοχαρίτωτε.





Ὠδὴ ζ΄. Σὲ νοητήν.

Λέοντας πρίν, Δανιὴλ ἐφίμωσε, σύνοικον ἔχων ἀρετήν· τοῦτον ζήλωσον, ὦ ψυχή, καὶ τὸν ὠρυόμενον πάντοτε ὡς λέοντα, καὶ συλλαβεῖν σε βουλόμενον, τῇ πρὸς Θεὸν ἀνανεύσει ἀεί, ἄπρακτον ποίησον.

Ὑπερβολῇ, ἀσωτείας Κύριε, ψυχὴν ἐρρύπωσα δεινῶς· ὑπερβάλλουσαν οὖν Χριστέ, ἔχων ἀγαθότητα, δέξαι ὡς τὸν ἄσωτον, καὶ μελῳδοῦντά με οἴκτειρον· Ὁ αἰνετὸς τῶν πατέρων Θεός, καὶ ὑπερένδοξος.

Μαρτυρικά.

Νόμῳ Χριστοῦ, εὐσθενῶς ῥωννύμενοι, τῶν ἀνομούντων τὰς βουλάς, ἐξηφάνισαν ἀνδρικῶς, οἱ ἀκαταγώνιστοι, μάρτυρες νομίμως τε, τελειωθέντες ἀνέμελπον· Ὁ αἰνετὸς τῶν πατέρων Θεός, καὶ ὑπερένδοξος.

Οἱ θεαυγεῖς, τοῦ Κυρίου μάρτυρες, πεπυρσευμένοι τῷ φωτί, τῆς Τριάδος περιφανῶς, σκότος τῶν κολάσεων, πλάνης τὴν ὁμίχλην τε, διεληλύθατε μέλποντες· Ὁ αἰνετὸς τῶν πατέρων Θεός, καὶ ὑπερένδοξος.

Θεοτοκίον.

Νόμοι ἐν σοί, φύσεως καινίζονται· τὸν νομοδότην γὰρ Χριστόν, δίχα νόμων τῶν σαρκικῶν, τίκτεις παναμώμητε, πᾶσιν ἀπολύτρωσιν, νομοθετοῦντα τοῖς μέλπουσιν· Ὁ αἰνετὸς τῶν πατέρων Θεός, καὶ ὑπερένδοξος.

### Ὠδὴ η΄. Ἐν καμίνῳ παῖδες Ἰσραήλ.

Λυτρωτά μου εὔσπλαγχνε Χριστέ, τῆς νῦν με κατεχούσης, ὁμίχλης ἁμαρτιῶν τε, καὶ παντοίων πειρασμῶν, λύτρωσαι κραυγάζοντα· Εὐλογεῖτε πάντα τὰ ἔργα, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ὅταν μέλλῃς ἔρχεσθαι Χριστέ, ἐν δόξῃ κρῖναι κόσμον, τῇ στάσει τῶν ἐκλεκτῶν σου, συναρίθμησον κἀμέ, βοῶντα καὶ λέγοντα· Εὐλογεῖτε πάντα τὰ ἔργα, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

### Μαρτυρικά.

Τῆς ἁγίας μάρτυρες σοφοί, ἐπέβητε· ἐν γῇ γάρ, μεγάλως ἀγωνισάμενοι, οὐρανίαν ζωήν, εἰλήφατε μέλποντες· Εὐλογεῖτε πάντα τὰ ἔργα, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ἐκδυθέντες σῶμα τὸ φθαρτόν, στολὴν ἀθανασίας, ὡς μάρτυρες νικηφόροι, ἐπενδύσασθε Χριστῷ, ἐξ ὕψους κραυγάζοντες· Εὐλογεῖτε πάντα τὰ ἔργα, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

### Θεοτοκίον.

Ἱεραί σε πόρρωθεν φωναί, γενήσεσθαι μητέρα, τοῦ πάντα τεκτηναμένου, προκατήγγειλαν Θεοῦ, ᾧ μέλπομεν ἄχραντε· Εὐλογεῖτε πάντα τὰ ἔργα, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.





### Ὠδὴ θ΄. Τύπον τῆς ἁγνῆς.

Ὥσπερ Χαναναία κράζω σοι· ἐλέησόν με Λόγε, ψυχὴν γὰρ κέκτημαι, ταῖς δαιμονικαῖς ἐπιφοραῖς κινδυνεύουσαν, καὶ ἀφρόνως τὰ ἄθεσμα πράττουσαν, καὶ μὴ αἰσθανομένην, τοῦ θείου φόβου σου μακρόθυμε.

Στῆσον ἐπὶ πέτραν Κύριε, τὰς τῆς ψυχῆς μου βάσεις, τῶν προσταγμάτων σου, καὶ τὸν ἀναιδῶς ὑποσκελίζειν με θέλοντα, ὑποσκέλισον ὄφιν, καὶ ῥῦσαί με, τῆς τούτου κακουργίας, ὡς ἀγαθὸς καὶ πολυέλεος.

### Μαρτυρικά.

Ἤδη παρελθόντες μάρτυρες, τῶν πειρασμῶν τὸ ὕδωρ, τὸ ἀνυπόστατον, καὶ τῶν αἰκισμῶν τῶν χαλεπῶν τὸ κλυδώνιον, πρὸς λιμένα σαφῶς κατηντήσατε, τῆς ἄνω βασιλείας, θείας γαλήνης ἀπολαύοντες.

Φέγγους ἀνεσπέρου μάρτυρες, φωτοειδεῖς γενόμενοι ἠξιώθητε, καὶ ἐν ἐκκλησίᾳ πρωτοτόκων εὐφραίνεσθε, καὶ ἀγγέλων χοροῖς συναγάλλεσθε, μεθ' ὧν τὸν Ζωοδότην, ὑπὲρ ἡμῶν καθικετεύσατε.

### Θεοτοκίον.

Φέρεις τὸν τὰ πάντα φέροντα, καὶ γαλουχεῖς τὸν πᾶσι τροφὴν παρέχοντα· μέγα καὶ φρικτὸν τὸ ὑπὲρ νοῦν σου μυστήριον, κιβωτὲ τοῦ σεπτοῦ ἁγιάσματος, Παρθένε Θεοτόκε, ὅθεν σε πίστει μακαρίζομεν.

Κανὼν παρακλητικὸς εἰς τὴν ὑπεραγίαν Θεοτόκον ἐν ἐξομολογήσει ἁμαρτωλοῦ.

Ποίημα Εὐθυμίου Μοναχοῦ Συγκέλλου.

Ὠδὴ α'. Ἦχος πλ. β'. Ὡς ἐν ἠπείρῳ.

Πῶς μου θρηνήσω τὸν βίον τὸν ῥυπαρόν, καὶ τὰ πλήθη Δέσποινα, τῶν ἀμέτρων μου κακῶν; τί δὲ ἐξαγγείλω σοι ἁγνή; ἀπορῶ καὶ δειλιῶ, ἀλλὰ βοήθει μοι.

Πόθεν ἀπάρξομαι λέγειν τὰ πονηρά, καὶ δεινά μου πταίσματα, ὁ ταλαίπωρος ἐγώ; οἴμοι, τί γενήσομαι λοιπόν; ἀλλὰ Δέσποινα κἀμέ, πρὸ τέλους οἴκτειρον.

Πᾶσαν ὁδὸν παροδεύσας ἁμαρτιῶν, σωτηρίας ἄχραντε τρίβον εὗρον οὐδαμῶς· ἀλλὰ σοὶ προστρέχω ἀγαθή, μὴ παρίδῃς, ἐκ ψυχῆς μετανοοῦντά με.

Τοῦ μὲν θανάτου τὴν ὥραν διηνεκῶς, ἐννοῶ πανάχραντε, καὶ τὸ βῆμα τὸ φρικτόν, συνηθείᾳ ὅλως δὲ κακῶν, δελεάζομαι δεινῶς, ἀλλὰ βοήθει μοι.

Τῶν ἀγαθῶν ὁ φθορεύς με νῦν καθορῶν, γυμνὸν ἀπροστάτευτον, καὶ μακρὰν ἀπὸ Θεοῦ, γεγονότα θείων ἀρετῶν, καταπίνειν με ὁρμᾷ, Δέσποινα πρόφθασον.

Ὠδὴ γ'. Οὐκ ἔστιν ἅγιος.

Ψυχὴν ἐμόλυνα αἰσχρῶς, Δέσποινα Θεοτόκε, ἐξ ἀμέτρων πταισμάτων, ὁ ταλαίπωρος ἐγώ, καὶ ποῦ λοιπὸν πορευθῶ, ἀπογνώσει ὅλος συνεχόμενος;





Τὸ κατ' εἰκόνα τοῦ Θεοῦ, κατεσπίλωσα οἴμοι! ὑψηλόφρονι γνώμῃ, ὁ ταλαίπωρος ἐγώ, καὶ ποῦ λοιπὸν πορευθῶ; ἀλλὰ σπεῦσον Παρθένε βοήθει μοι.

Οὐκ ἔστιν ὅλως ἐν βροτοῖς, ὁ τὰ ἄθεσμα πράξας, γεννηθεὶς ἐν τῷ βίῳ, ὥσπερ ἐγὼ ἀγαθή, ἀσελγείας τῶν δεινῶν, τὸ γὰρ θεῖον βάπτισμα ἐμόλυνα.

Εἰς τέλος ἔφθασα κακῶν, Παναγία Παρθένε, σὺ βοήθησον τάχει· οὐρανὸς γὰρ καὶ ἡ γῆ, καταβοῶσι πικρῶς, τῶν ἀμέτρων πράξεων τὰ ἄτοπα.

Ὠδὴ δ'. Χριστός μου δύναμις.

Ἀγγέλων τάγματα, καὶ τὰ στρατεύματα, οὐρανῶν αἱ δυνάμεις τοῦ σοῦ Υἱοῦ, φρίττουσι τὸ κράτος ἁγνή· νῦν δὲ ἐγὼ ἀπογνωσθείς, ἀφοβίᾳ περιέχομαι.

Ἐξέστη ἅπασα, ἡ γῆ καὶ ἔφριξε, καθορῶσα δεινῶς τε καὶ πονηρῶς, πράττοντα τὰ ἄτοπα, καὶ τοῦ Υἱοῦ σου τὴν πολλήν, εὐσπλαγχνίαν καταπλήττοντα.

Ναὸν ἐμόλυνα, κακῶς τοῦ σώματος, καὶ ναὸν τοῦ Κυρίου, ὅνπερ βροτοί, τρέμοντες εἰσέρχονται· ἐγὼ δὲ οἴμοι! ἀναιδῶς, εἰσπορεύομαι ὁ ἄσωτος.

Μὴ δείξῃς Δέσποινα, μὴ δείξῃς ξένον με, ξενωθέντα τῆς σκέπης τοῦ σοῦ Υἱοῦ, ὅλως καὶ ἀνάξιον· ἀλλὰ ἀπόπλυνον κἀμέ, ἐκ τῶν ῥύπων τῶν πταισμάτων μου.

'Ωδὴ ε'. Τῷ θείῳ φέγγει.

Ἀ'δὰμ παρέβη μὲν ἐντολήν, μίαν σου Παρθένε τοῦ Υἱοῦ, καὶ ἐξορίᾳ ὑπέπεσε· πῶς δέ μου θρηνήσω πταισμάτων ἄβυσσον, ἐγὼ ὁ ἀποστάτης, καὶ παραβάτης Θεοῦ;

Φθορεὺς μὲν πάλαι ἀναφανείς, καὶ ἀδελφοκτόνος Κάϊν, πρὶν ἀπὸ Θεοῦ κεκατήραται· τί δὲ καὶ ποιήσω ἐγὼ ὁ πάντολμος; ψυχὴν γὰρ ἀποκτείνας, νῦν οὐκ αἰσχύνομαι.

Ἠ'σαῦ ἐζήλωσα τὸν δεινόν, ἐν γαστριμαργίᾳ καὶ τρυφῇ, ψυχὴν καὶ σῶμα ἐμόλυνα, μέθῃ καὶ λαγνείᾳ ῥυπώσας βίον μου· καὶ τίς λοιπὸν μὴ κλαύσῃ, ἐμὲ τὸν ἄθλιον;

Τῷ θείῳ φέγγει σου ἀγαθή, ἴασαί μου πάθη τῆς ψυχῆς, ἃ ὁ φθορεύς μοι ἐνέσπειρε· ῥῦσαί με τῆς τούτου αἰχμαλωσίας πικρᾶς· γελᾷ γὰρ καθορῶν με, νῦν ἀπροστάτευτον.

'Ωδὴ ς'. Τοῦ βίου τὴν θάλασσαν.

Ὁ' βίος μου ἄσωτος, ἡ ψυχή μου ῥυπαρά, καὶ ἡ ζωὴ πανάθλιος, τὸ δὲ σῶμά μου ὅλον ἐν τοῖς κακοῖς, δεινῶς κατεσπίλωσα· διὸ σπεῦσον Παρθένε, καὶ βοήθει μοι.

Τὸ τέλος ἐφέστηκε, καὶ οὐ φέρω ἀγαθή, τὸ συνειδὸς ἐλέγχει με· παριστᾷ γάρ μοι πράξεις τὰς πονηράς, καὶ βίου τὸ ἄστατον, καὶ τὸ βῆμα πτοοῦμαι τοῦ Υἱοῦ σου ἁγνή.





Σαρκός μου τὴν πύρωσιν, ποταμὸς ὁ τοῦ πυρός, ὁ φοβερὸς καὶ ἄσβεστος, ἀναμένει πανάχραντε ἀληθῶς, καὶ σκώληξ ἀκοίμητος· ἀλλὰ ῥῦσαί με τούτων ταῖς πρεσβείαις σου.

Σὺν τρόμῳ συνέχομαι, καὶ πτοοῦμαι ἀγαθή, τοῦ πονηροῦ τὰ ἔνεδρα· πρὸ τοῦ τέλους γὰρ τρύζει μοι ὁ φθορεύς, ὀδόντας κατέχων με, ὡς αἰχμάλωτον ὄντα καὶ γυμνὸν ἀρετῶν.

'Ωδὴ ζ'. Δροσοβόλον μὲν τὴν κάμινον.

Ἑ'πταπλάσιον τὴν φλόγα μοι ἐξέκαυσε, τὴν τῶν παθῶν ὁ δόλιος, ταῖς μοιχείαις δὲ τῆς καρδίας ὅλον θανατοῖ· ἀλλ' ἄρδευσον ῥείθροις τῶν ἐμῶν, δακρύων Μῆτερ τοῦ Θεοῦ, καὶ μὴ ἀπώσῃ με.

Συμπνιγόμενον τῷ βόθρῳ τῶν πταισμάτων μου, μή με ἐάσῃς Δέσποινα· καὶ γὰρ βλέπων με ἀπογνόντα ὄντα ἀγαθή, γελᾷ ὁ παμπόνηρος ἐχθρός· ἀλλὰ αὐτὴ σου κραταιᾷ χειρὶ ἀνάστησον.

Φοβερὸν μὲν τὸ κριτήριον ταλαίπωρε, ψυχή μου καὶ ἀναίσθητε, καὶ ἡ κόλασις ἀτελεύτητός τε καὶ φρικτή· ἀλλ' ὅμως νῦν πρόσπεσον Μητρί, τῇ τοῦ κριτοῦ σου καὶ Θεοῦ, καὶ τί ἀπέγνως σαυτήν;

Ἐ'πὶ σὲ τὴν πᾶσαν Δέσποινα ἐλπίδα μου, ἀνέθηκα ὁ ἄσωτος· μὴ ἀποστρέψῃς ἀπ' ἐμοῦ τὸ πρόσωπόν σου νῦν· μὴ σπλάγχνα φιλάνθρωπα τὰ σά, κλείσῃς μοι Μῆτερ τοῦ Θεοῦ, ἀλλὰ βοήθει μοι.

Ἐσκοτίσθην ὁ ταλαίπωρος πανάχραντε, τῷ πλήθει τῶν ἀμέτρων κακῶν, καὶ ἠλλοίωμαι τῆς ψυχῆς τὸ ὄμμα καὶ τὸν νοῦν· διό με φωτός σου ταῖς αὐγαῖς, πρὸς ἀπαθείας γλυκασμὸν θᾶττον εἰσάγαγε.

Ὠδὴ η΄. Ἐκ φλογὸς τοῖς ὁσίοις.

Τῆς Τριάδος τὸν ἕνα Θεὸν ἡ τέξασα, καὶ ἀγκάλαις βαστάσασα Μητροπάρθενε, σβέσον τῶν παθῶν τὴν πυρίφλογον κάμινον, καὶ δακρύων ῥείθροις, ἀπόπλυνον ψυχήν μου.

Παρουσίαν θανάτου φρίττω πανάχραντε, καὶ τὴν κρίσιν ἐκείνην ὅλως οὐ δέδοικα, πράττειν δὲ κακὰ οὐδὲ ὅλως ἀφίσταμαι· οἴκτειρον καὶ σῶσον, πρεσβείαις σου πρὸ τέλους.

Στεναγμοὺς ἀσιγήτους Δέσποινα δώρησαι, καὶ δακρύων πηγήν μοι, ἵνα ἐκπλύνω μου, πταίσματα πολλὰ καὶ ἀνίατα τραύματα, ὅπως ἐπιτύχω, ζωῆς τῆς αἰωνίου.

Τῶν κακῶν μου τὰ πλήθη σοὶ ἐξηγόρευσα· ὡς οὐδεὶς γὰρ ἐν κόσμῳ ἄλλος παρώργισα, Δέσποινα Θεόν, τὸν Υἱόν σου καὶ Κύριον· τούτῳ με ἐν τάχει, κατάλλαξον εὐχαῖς σου.

Μή με στήσῃς ἐν ὥρᾳ Δέσποτα κρίσεως, μετὰ τῶν κατακρίτων ὁ φύσει εὔσπλαγχνος, ἀλλὰ σῆς Μητρός, ταῖς πρεσβείαις ἐλέησον, καὶ τοῖς δεξιοῖς σού με σύνταξον προβάτοις.





Ὠδὴ θ΄. Θεὸν ἀνθρώποις.

Ἰδοὺ προσέρχομαί σοι πανάχραντε, φόβῳ πολλῷ καὶ πόθῳ τὴν ἰσχὺν ἐπιστάμενος, τῆς πολλῆς πρεσβείας ἐγὼ ὁ δοῦλός σου· μέγιστα γὰρ ἰσχύει, ὦ παντευλόγητε, δέησις μητρὸς πρὸς τὸν υἱόν· σπλάγχνοις γὰρ κάμπτεται.

Χοροὺς παράλαβε ἀρχαγγέλων τε, καὶ τὴν πληθὺν τῶν ἄνω στρατευμάτων καὶ Πρόδρομον, ἀποστόλων δήμους καὶ προφήτας τε, μάρτυρας καὶ ὁσίους, ἱερομάρτυρας, καὶ πρεσβείαν ποίησον ἁγνή, ὑπὲρ ἐμοῦ πρὸς Θεόν.

Καὶ νῦν καὶ τότε τὴν σὴν βοήθειαν, εὕρω ἁγνή, ἐν ᾗ ὅταν ἐκλείπῃ τὸ πνεῦμά μου, τῶν δαιμόνων θᾶττον λυτρουμένη με, ῥῦσαι τῆς τυραννίδος τούτων πανάχραντε, καὶ μή με ἐάσῃς ἀγαθή, παραδοθῆναι αὐτοῖς.

Κριτὴν οἰκτίρμονα καὶ φιλάνθρωπον, τὸν σὸν Υἱὸν ἐκδέχομαι ἁγνή, μὴ ὑπερίδῃς με· ἀλλ᾽ αὐτόν μοι ποίησον εὐΐλατον, στῆσαι ἐκ δεξιῶν με, τότε πανύμνητε, τοῦ ἀχράντου βήματος αὐτοῦ· εἰς σὲ γὰρ ἤλπισα.

Ἀρχαὶ Ἀρχάγγελοι Κυριότητες, καὶ Σεραφίμ, Δυνάμεις Ἐξουσίαι καὶ Ἄγγελοι, Θρόνοι πολυομμάτοις σὺν τοῖς Χερουβίμ, νῦν τὸν δεδοξασμένον τόκον σου σέβοντες, σὲ Παρθενομῆτορ εὐλαβῶς, ἀεὶ δοξάζουσιν.

Κανὼν φωτοφόρος εἰς τὴν ὑπεραγίαν Θεοτόκον

οὗ ἡ ἀκροστιχίς·

Φωτὸς δοχεῖον φώτισόν με φωτί σου. Ἀμήν.

Ποίημα Θεοκτίστου μοναχοῦ τοῦ Στουδίτου.

Ὠδὴ α΄. Ἦχος δ΄. Θαλάσσης τὸ ἐρυθραῖον.

Φωτί με τῶν πρεσβειῶν σου φώτισον, Θεογεννήτρια, ἡ γενομένη μήτηρ τοῦ φωτός, τοῦ ἀδύτου πανάχραντε, καὶ φωτισμόν μοι γνώσεως, παρασχεθῆναι καθικέτευσον.

Ὡς οὖσα φωτοειδὴς πανάχραντε, Θεογεννήτρια, φωτιστικαῖς πρεσβείαις σου ἁγνή, σκοτισθέντα με φώτισον, καὶ τοῦ φωτὸς βαδίζειν με, τὰς θείας τρίβους καταξίωσον.

Τὴν νύκτα τῶν λογισμῶν μου φώτισον, φωτί σου πάναγνε, καὶ τὴν ψυχήν μου πύλη τοῦ φωτός, φωτοφόρον ἀπέργασαι, ἵνα τὸ φῶς θεάσωμαι, τοῦ φωτοδότου καὶ Θεοῦ ἡμῶν.

Ὀμίχλην τὴν τῶν παθῶν ἀπέλασον, τὸ φῶς ἡ τέξασα, Θεογεννῆτορ μόνη ἡ φωτός, προφανῶς ὑπερλάμπουσα, ἡλιακοῦ πανάχραντε, φωτοχυῆτορ παντευλόγητε.

Ὠδὴ γ΄. Εὐφραίνεται ἐπὶ σοί.

Συγχώρησιν ἐξαιτῶ, φωτιστικῶν σου πρεσβειῶν ἄχραντε, ἣν συμπαθῶς δίδου μοι, φῶς τὸ ἐκ φωτὸς ἡ κυήσασα.





Διάνοιαν σκοτεινήν, τῇ φωτοφόρῳ σου αὐγῇ φώτισον· σὺ γὰρ φρικτῶς τέτοκας, τοῦ Πατρὸς ἁγνὴ τὸ ἀπαύγασμα.

Οὐκ ἔστιν ἐπὶ τῆς γῆς, ἁμαρτωλότερος ἐμοῦ πάναγνε· ὅθεν βοῶ φώτισον, πύλη τοῦ φωτὸς τὴν καρδίαν μου.

Χωρίον φωτοειδές, τῆς ὑπερφώτου ἀληθῶς φύσεως, φῶς θεϊκὸν ἄχραντε, καὶ φωτὸς ἀκτῖνα παράσχου μοι.

Ὠδὴ δ΄. Ἐπαρθέντα σε ἰδοῦσα.

Ἐκ νεότητός μου πάναγνε φωτοτόκε, ταῖς ἡδοναῖς ῥερύπωμαι· τῆς δικαιοσύνης ἥλιον τεκοῦσα Χριστόν, φωτί σου νῦν φώτισον, τὴν ἀμαυρωθεῖσαν καρδίαν μου.

Ἰατρεῖον σὺ πανάμωμε φωτοτόκε, φωτιστικὸν ὑπάρχουσα, φώτισον τὸν νοῦν μου, Λόγου φωτοφόρε σκηνή, καὶ ῥῦσαι τοῦ σκότους με, ἐν φωτὶ ἀΰλῳ σκηνοῦσά με.

Ὁλοτρόπως τῇ κακίᾳ κατεδουλώθην, ἀλλ' ἐπὶ σοὶ προσφεύγω νῦν ὁ ἐσκοτισμένος, φώτισόν με πύλη φωτός, καὶ ῥῦσαι γεέννης με, καὶ φωτὸς ἀΰλου με ἔμπλησον.

Νομοθέτην ἡ τεκοῦσα καὶ φωτοδότην, τὴν χαλεπὴν ἀπέλασον σκοτίαν νοός μου, σοῦ τῶν πρεσβειῶν τῷ φωτί, καὶ φώτισον δέομαι, τὸν ἐσκοτισμένον ὁλόφωτε.

Ὠδὴ ε΄. Σὺ Κύριέ μου φῶς.

Φῶς σὺ τὸ ἐκ φωτός, ὑπὲρ λόγον κυήσασα, φῶς δίδου μοι ἐπιστρέφειν, ἐκ ζοφώδους ἀγνοίας, τὸν πίστει ἀνυμνοῦντά σε.

Ὡς οὖσα Χερουβίμ, Σεραφὶμ ὑπερτέρα τε, πανάχραντε Θεοτόκε, τὴν ψυχήν μου φωτί σου, φωτοκυῆτορ φώτισον.

Τίς δύναται νοεῖν, τοῦ φωτός σου τὸ ἄρρητον, ὑπέρφωτε Θεοτόκε; τῆς Τριάδος τὸν ἕνα, φρικτῶς γὰρ σὺ γεγέννηκας.

Ἰσότιμον Πατρί, τὸν Υἱὸν καὶ τῷ Πνεύματι, πανάχραντε φωτοδότην, ὑπὲρ λόγον τεκοῦσα, φωτί με τούτου φώτισον.

Ὠδὴ ϛ΄. Θύσω σοι.

Στόμα μου, τὸ ῥυπαρὸν φωτί σου Θεόνυμφε, καθαρωτέρα ὡς οὖσα τοῦ φωτός, καθάρισον ἵνα μέλπω, τοῦ τῶν φώτων Πατρός, καθαρῶς τὸ ἀπαύγασμα.

Οἴκτειρον, ὡς συμπαθὴς ἐμὲ τὸν ἀκάθαρτον, φωτεινοτέρα ὡς οὖσα τοῦ φωτός, Παρθένε τοῦ ὁρωμένου, καὶ φωτός μου τὴν καρδίαν, ἐνθέου νῦν πλήρωσον.

Νεύσεσι, φωτιστικαῖς Παρθένε ὁδήγησον, τὸν σκοτισθέντα ἀθλίως πρὸς τὸ φῶς, τὸ ἄδυτον τοῦ Υἱοῦ σου, καὶ τὸν λύχνον, τῆς ψυχῆς μου σβεσθέντα ὑπάναψον.





Μόνην σε, τιμιωτέραν ἔγνωμεν πάναγνε, τῶν Χερουβὶμ ὡς τεκοῦσαν, τοῦ φωτὸς τὸν πρύτανιν Θεοτόκε, ὃν δυσώπει, πρὸς τὸ φῶς με σκηνῶσαι τὸ ἄδυτον.

Ὠδὴ ζ΄. Ἐν τῇ καμίνῳ.

Ἐγὼ Παρθένε, ταῖς ἀνομίαις φεῦ ὑπερβέβηκα, πάντας τοὺς πρὸ νόμου πάναγνε ἀληθῶς, καὶ ἐν νόμῳ· ἡ κυήσασα, φῶς τὸ ἀπρόσιτον, φωτεινή με νεφέλη νῦν φώτισον.

Φθαρέντα κόσμον, ἀνακαινίζεις ὦ Μητροπάρθενε, Κόρη τεκοῦσα τὸ φῶς τὸ ἀληθινόν, τὸ φωτίζον πάντα ἄνθρωπον· διὸ νῦν φώτισον, τῆς ψυχῆς μου τὰ ὄμματα δέομαι.

Ὡραιοτάτην, Κυριοτόκε σὺ καὶ ὁλόφωτον, νῦν τὴν ψυχήν μου ἀπέργασαι ἡ φρικτῶς, τοῦ Πατρὸς ἀποκυήσασα, σὺ τὸ ἀπαύγασμα, καὶ φωτὸς ἀϊδίου με ἔμπλησον.

Τὴν συντριβήν μου, τὴν ψυχικὴν Παρθένε θεράπευσον, πύλη τοῦ φωτός, καὶ δίδου μοι πρὸς τὸ φῶς, τοῦ Υἱοῦ σου τὰς πορείας μου, ποιεῖσθαι πάντοτε, ἵνα ἴδω τὸ φῶς τὸ ἀνέσπερον.

Ὠδὴ η΄. Χεῖρας ἐκπετάσας.

Ἴδω σου τὸ φῶς τῶν πρεσβειῶν, ἡ φῶς κυήσασα βροτοῖς τὸ ἄρρητον, καὶ τὰς αἰσθήσεις μου ἄχραντε, τῆς ψυχῆς καταφωτίζουσα, καὶ τῆς ἀγνοίας τὸ δεινὸν

σκότος ἐξαίρουσα, ἵνα κράζω· Φωτοχυῆτορ χαῖρε πανάμωμε.

Σκότος τῶν παθῶν μου φωτεινή, φωτὸς ὑπάρχουσα νεφέλη πάναγνε, τῇ φωτοφόρῳ σου ἀπέλασον, ἱκεσίᾳ Μητροπάρθενε, καὶ φωταγώγησον τὸν νοῦν, ἵνα σῳζόμενος ἀνακράζω· Φωτοχυῆτορ χαῖρε πανάμωμε.

Ὄλβιος καὶ πλήρης φωτισμοῦ, ἡ σὴ πανάχραντε πρεσβεία πέφυκε, φωτὸς πηγή τε ἀέναος, καὶ φωτὸς κατοικητήριον, ἡ τὰς καρδίας τῶν πιστῶν καταφωτίζουσα, τῶν βοώντων· Φωτοχυῆτορ χαῖρε πανάμωμε.

Ὕμνος σοι ἐπάξιος οὐδείς, προσενεχθήσεται Δέσποινα πάναγνε, σὺ γὰρ ὑπέρφωτε τέτοκας, φωτοδότην ὑπὲρ ἔννοιαν, καταφωτίζοντα ψυχάς, Χριστὸν τὸν Κύριον, τῶν βοώντων· Φωτοχυῆτορ χαῖρε πανάμωμε.

Ὠδὴ θ΄. Λίθος ἀχειρότμητος.

Ἄχραντε φωτώνυμε Κόρη, τῇ φωτοφόρῳ σου πρεσβείᾳ, φώτισον νοός μου τὰς κόρας, καὶ τὰς αἰσθήσεις πάσας τοῦ σώματος, ἵνα τὸ φῶς ἀτενίσω, τοῦ φωτοδότου καὶ Θεοῦ ἡμῶν.

Μόνος ὑπερέβην Παρθένε, τῶν γηγενῶν πᾶσαν τὴν φύσιν, ἐν ταῖς ἀσωτείαις, ὥστε καὶ ὤφθην, κτηνῶν ἀλόγων ἀλογώτερος· ἀλλὰ φωτί με δέομαι, τῶν πρεσβειῶν σου φωταγώγησον.





Ἥμαρτον ὁ τάλας Παρθένε, ὑπερβαλλόντως ἀλλὰ σύ με, φώτισον καὶ ῥῦσαι τοῦ σκότους, τοῦ αἰωνίου καὶ καθοδήγησον, πρὸς τὴν ζωὴν τὴν ἄρρητον, καὶ τὴν οὐρανίαν ἀπόλαυσιν.

Νόμου τὸ κεφάλαιον Κόρη, σὺ καὶ τὸ πλήρωμα τεκοῦσα, πλήρωσον φωτὸς καὶ τὴν ψυχήν μου, καὶ τὰς αἰσθήσεις μου πάσας φώτισον, ἵνα τὸ φῶς αὐγάσῃ με, τοῦ φωτοδότου καὶ Θεοῦ ἡμῶν.

Κανὼν εἰς τὴν ὑπεραγίαν Θεοτόκον

οὗ ἡ ἀκροστιχίς·
Ἄδω τῇ Θεοτόκῳ ὁ ἁμαρτωλὸς Φώτιος. Αἰτῶ.

Ποίημα ἁγίου Φωτίου τοῦ μεγάλου, πατρ. Κπόλεως.

Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ἄσωμεν τῷ Κυρίῳ.

Ἄχραντε Θεοτόκε, δέξαι μου τὴν δέησιν, προσπίπτω σοι ὁ ἀχρεῖός σου δοῦλος, καὶ ὑμνεῖν σε ἀξίως ἐνίσχυσον.

Δέξαι Θεοχυῆτορ, δέησιν οἰκτρὰν τὴν τοῦ οἰκέτου σου, δυσωποῦντός σε σῴζειν πειρασμῶν, καὶ κινδύνων καὶ θλίψεων.

Ὢ πανύμνητε Κόρη, μῆτερ τοῦ Σωτῆρος καὶ Θεοῦ ἡμῶν, ἀπὸ πάσης ἀνάγκης, λυτρωθῆναι ἡμᾶς καθικέτευε.

Τείχισόν μου τὰς φρένας, φώτισον καρδίας τὰ νοήματα, τοῦ ὑμνεῖν σε, Χριστέ μου, τῆς πανάγνου Μητρός σου δεήσεσιν.

Ὠδὴ γ΄. Σὺ εἶ τὸ στερέωμα.

Ἤ τὸν ὑπεράγαθον, καὶ πανοικτίρμονα Κύριον, ἐν τῇ γαστρί, τῇ σῇ δεξαμένη, Θεοτόκε βοήθει μοι.

Θείαις παρακλήσεσι, τῆς κυησάσης σε Κύριε, παμβασιλεῦ, οἴκτειρον τὸν κόσμον, ὡς οἰκτίρμων καὶ εὔσπλαγχνος.

Ἔχων σε βοήθειαν, ταῖς τῶν ἐχθρῶν παγῖσιν ἁγνή, μὴ ἐμπαγῶ, ἔχων σε προστάτιν, τῆς ζωῆς μὴ ἐκπέσοιμι.

Ὅλον κατακείμενον, ταῖς ἡδοναῖς ἁγνὴ Δέσποινα, καὶ μολυσμοῖς, ἐξ ἀπροσεξίας, ἐξαρπάσασα σῶσόν με.

Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.

Τῇ χειρί σου κατάβαλε, δαίμονας ἐξ ὕψους τοὺς πολεμοῦντάς με, καὶ εὐόδωσον πρὸς τρίβους ζωῆς, ὁ Θεός, πρεσβείαις τῆς τεκούσης σε.

Ὅταν μέλλῃ χωρίζεσθαι, ἡ ἐλεεινὴ ψυχή μου τοῦ σώματος, τοῦ ἀθλίου τούτου Δέσποινα, σὺ παράστηθί μοι καὶ βοήθησον.

Κραταιᾷ ἀντιλήψει σου, πρόστηθι πανάχραντε τοῦ οἰκέτου σου, καὶ δαιμόνων μηχανήματα, ἀπ᾽ ἐμοῦ Παρθένε ἐξαφάνισον.





Ὡς ὑπάρχουσα ἄβυσσος, τῆς φιλανθρωπίας καὶ ἀγαθότητος, τὰς ἀβύσσους τῶν πταισμάτων μου, ὦ Παρθενομῆτορ ἀποξήρανον.

Ὠδὴ ε΄. Ὀρθρίζοντες βοῶμέν σοι.

Ὁ τάλας καὶ παμβέβηλος κράζω σοι, Λόγε Θεοῦ, διὰ τῆς τεκούσης σε, σῶσόν με σῶσον ὡς εὔσπλαγχνος.

Ἀνάξιον καὶ ὅλον κατάκριτον, γεγονότα, Χριστὲ τοῦ σοῦ βήματος, ἐξ ἀφροσύνης με οἴκτειρον.

Μαρία Θεοτόκε ἀνύμφευτε, τῶν παγίδων, τοῦ ἐχθροῦ με λύτρωσαι, πρὸς σὲ γὰρ μόνην κατέφυγον.

Ἀνάστειλον τὴν μέθην πανάμωμε, τῶν παθῶν μου, καὶ πρὸς τὴν σωτήριον, εὐθυπορεῖν τρίβον ποίησον.

Ὠδὴ ϛ΄. Χιτῶνά μοι.

Ῥαθύμως μου τὸν βίον ἐκτελῶ, ἡδοναῖς δουλούμενος· ἐπίστρεψον σῶσόν με, ταῖς πρεσβείαις Ἰησοῦ, τῆς τεκούσης σε.

Τὸ σκότος τῶν παθῶν καὶ ἡδονῶν, τὴν ψυχήν μου Δέσποινα, ἠμαύρωσε· κάθαρον, καὶ πρὸς τρίβους ἀρετῶν, φωταγώγησον.

Ὢ! οὐ κέκτημαι δακρύων ὀχετούς, ἵνα ἀποπλύνω μου, τὰ ἄπειρα πταίσματα· ταῖς πρεσβείαις σου ἁγνή, τούτων ῥῦσαί με.

Λιμένα καὶ προσφύγιον ἁγνή, καὶ τεῖχος ἀπόρθητον, τὴν σκέπην σου Δέσποινα, κεκτημένοι τῶν δεινῶν, λυτρωθείημεν.

Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ὁ λῃστὴν ἐπὶ ξύλου, παραδείσου πολίτην ἀπεργασάμενος, κἀμὲ τὸν σὸν οἰκέτην, διὰ τῆς Θεοτόκου, καταξίωσον κράζοντα· Ὁ τῶν πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Συμπαθείᾳ σου θείᾳ, τὴν ψυχήν μου τυφλώττουσαν φωταγώγησον, Παρθένε Θεοτόκε, καὶ ῥῦσαί με ἀτόπων, ἐνθυμήσεων ψάλλοντα· Ὁ τῶν πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Φεῦ! ἐπλήγην ὡς χόρτος, ἐξηράνθη ταῖς νόσοις, ἁγνὴ ἡ καρδία μου, τὰ δὲ ὀστᾶ ἐφρύγη, καὶ συνετρίβη Κόρη· ἴασαί με κραυγάζοντα· Ὁ τῶν πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ὡς τὸν βότρυν τεκοῦσα, τῆς ζωῆς Θεοτόκε τὸν ἀγεώργητον, ἀξίωσον καρπούς με, προσφέρειν μετανοίας, τῷ Υἱῷ σου κραυγάζοντα· Ὁ τῶν πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η΄. Τὸν βασιλέα.

Τὰς τῶν δαιμόνων, ἐπιβουλὰς καὶ τὰ τόξα, κατ᾽ ἐμοῦ κινούμενα Σωτήρ μου, σύντριψον καὶ δεῖξον, ἀνώτερόν με τούτων.





Ἴασαι Δέσποινα ἀγαθὴ τῆς ψυχῆς μου, τὰ δεινὰ καὶ τραύματα καὶ ἕλκη, ἵνα σε δοξάζω, τὴν κεχαριτωμένην.

Ὁ ὑπὲρ πάντας, τοὺς γηγενεῖς ἁμαρτήσας, ἐπὶ σὲ πανάχραντε προσφεύγω, φύλαξον τὴν ψυχήν μου, ἐκ πάσης ἁμαρτίας.

Σοὶ Θεομῆτορ, προσπεφευγὼς ἐκ παντοίων, ἀναγκῶν τοῦ βίου καὶ κινδύνων, κράζω Θεοτόκε, Παρθένε λύτρωσαί με.

Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.

Ἁγία Θεοτόκε, καὶ δεδοξασμένη, ὑπὲρ ἡμῶν τὸν Υἱόν σου ἱκέτευε, τοῦ λυτρωθῆναι κινδύνων, ἡμᾶς τοὺς δούλους σου.

Ἱλάσθητι Σωτήρ μου, πᾶσι τοῖς τιμῶσι, τὴν ὑπερένδοξον ὄντως Μητέρα σου, καὶ παραδείσου τῆς δόξης, δεῖξον οἰκήτορας.

Τὰ ῥήματά μου Κόρη, ἐνωτισαμένη, τὴν οἰκτροτάτην μου δέησιν πρόσδεξαι, καὶ τῆς κολάσεως ῥῦσαι, καὶ αἰωνίου πυρός.

Ὦ Δέσποινα Παρθένε, τὴν ἐσκοτισμένην, ταῖς ἁμαρτίαις ψυχήν μου καταύγασον, τὴν εὐτελῆ ἱκεσίαν, προσδεξαμένη μου.



# ΤΡΟΠΑΡΙΑ
## ΨΑΛΛΟΜΕΝΑ ΕΙΣ ΜΝΗΜΑΣ ΑΓΙΩΝ*

Τροπάρια εἰς μνήμην ἀποστόλου.

Ἦχος πλ. δ΄. Τί ὑμᾶς καλέσωμεν.

Τί σε ὀνομάσω ἀπόστολε; οὐρανὸν ὅτι τὴν δόξαν, διηγήσω τοῦ Θεοῦ· ποταμὸν ὅτι τὴν κτίσιν, καταρδεύεις μυστικῶς· ἀστέρα, Ἐκκλησίαν καταυγάζοντα, κρατῆρα, πόμα ἅγιον προχέοντα, φίλον Χριστοῦ γνησιώτατον, τῶν ἀσωμάτων ὁμόσκηνον· ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ὄντως θεηγόρε ἀπόστολε, ἀπεστάλης ὡς βολίς, παρὰ Θεοῦ φωτοειδής, τραυματίζουσα ἐχθρούς, τραυματισθείσαις δὲ ψυχαῖς, προδήλως, προμηνύουσα τὴν ἴασιν, διό σε, κατὰ χρέος μακαρίζομεν, καὶ τὴν ἁγίαν σου σήμερον, ἐπιτελοῦμεν πανήγυριν· ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἔνδοξε θεόπτα ἀπόστολε, ὡραιώθησαν οἱ σοί, πόδες Κυρίου τὰς ὁδούς, βηματίζοντες καλῶς, καὶ τὴν

*Τὰ παρατιθέμενα τροπάρια εἶναι δυνατὸν νὰ ψάλλωνται εἰς τὸν Ἑσπερινὸν ἀντὶ τῆς β΄ τριάδος τῶν στιχηρῶν τῆς ἡμέρας.

ὁδὸν τοῦ δυσμενοῦς, στενοῦντες, πλατυσμῷ τῆς θείας γνώσεως, τοῦ Λόγου, τοῦ ὀφθέντος ὕλη σώματος, καὶ μαθητήν σε περίδοξον, ἐκλεξαμένου μακάριε· ᾧ πρέσβευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἰς μνήμην προφήτου.

Ἦχος δ΄. Ὁ ἐξ Ὑψίστου κληθείς.

Τὸν σὸν προφήτην ὡς ἔμψυχον νεφέλην, ἔδειξας ἀθάνατε ὕδωρ ἀλλόμενον, εἰς ζωὴν ὄντως αἰώνιον, ἐξαποστείλας, τοῦτον πλουσίως καὶ χαρισάμενος, τὸ Πνεῦμα τὸ ἅγιον καὶ ὁμοούσιον, σοὶ τῷ Πατρὶ παντοκράτορι, καὶ τῷ Υἱῷ σου, τῷ ἐκ τῆς σῆς οὐσίας ἐκλάμψαντι, δι' οὗ προεῖπε τὴν σωτήριον, παρουσίαν Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, καὶ τοῖς ἔθνεσι πᾶσι, σωτηρίαν προεθέσπισεν.

Ὁ τὴν ἀκτῖνα τῆς θεαρχικωτάτης, αἴγλης εἰσδεξάμενος νοῦ καθαρότητι, καὶ θείων λόγων προσήγορος, καὶ προσημάντωρ, καὶ ὑποφήτης θεῖος γενόμενος, στόμα θεοκίνητον ὤφθης τοῦ Πνεύματος, τὰ παρ' αὐτοῦ σοι δεικνύμενα, διαβιβάζων, καὶ σαφηνίζων πᾶσι τοῖς ἔθνεσι, δοθησομένην σωτηρίαν, καὶ βασιλείαν Χριστοῦ πανσεβάσμιε· ὃν ἱκέτευε σῶσαι, καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν.

Ὁ θεοπτίᾳ λαμπόμενος ἀξίᾳ, καὶ προφητικῇ θεωρίᾳ καὶ χάριτι, τετιμημένος θεόπνευστε, καὶ τῆς ἐνθέου, ἠξιωμένος μακαριότητος, τῇ πρὸς τὸν Πανάγαθον νῦν





παρρησίᾳ σου, καὶ συμπαθείᾳ χρησάμενος, καθικετεύων, μὴ διαλίπῃς ὑπὲρ τῶν πίστει σε, ἀνευφημούντων καὶ τιμώντων σε, ὡς θεηγόρον σεπτὸν καὶ θεόληπτον, ἐκ κινδύνων ῥυσθῆναι, καὶ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἰς μνήμην μάρτυρος.

Ἦχος δ΄. Ὡς γενναῖον ἐν μάρτυσι.

Φοινιχθεῖσαν ἐν αἵματι, τῆς σαρκός σου ἐνδέδυσαι, πορφυρίδα ἔνδοξε, θείᾳ χάριτι, καὶ κορυφῇ σῇ διάδημα, ἐπαναδησάμενος, ἀφθαρσίας καὶ ζωῆς, τοῦ σταυροῦ τε τὸ τρόπαιον, μάρτυς ἔνδοξε, δεξιᾷ περιφέρων, ὥσπερ σκῆπτρον, τῷ Χριστῷ συμβασιλεύεις, διαπαντὸς εὐφραινόμενος.

Στρατιώτης ἀήττητος, ἐγνωρίσθης ἀοίδιμε, τοῦ σταυροῦ τὸ ὅπλον γάρ, συμφραξάμενος, πρὸς συμπλοκὴν ἐξελήλυθας, ἐχθροῦ πολεμήτορος, καὶ κατέρραξας αὐτόν, ἀριστεύσας λαμπρότατα, καὶ τὸν στέφανον, εἰληφὼς τὸν τῆς νίκης ἐκ τοῦ μόνου, ἀθλοθέτου καὶ Δεσπότου, καὶ εἰς ἀεὶ βασιλεύοντος.

Τοῖς τιμίοις σου πάθεσι, πάθος τίμιον ἔνδοξε, ἀθλητὰ ἀήττητε, ἐξεικόνισας, καὶ νικηφόρος γενόμενος, τὴν ἄνω μητρόπολιν, μετὰ πάντων κατοικεῖς, ἀθλοφόρε γηθόμενος, καὶ θεούμενος, κατὰ μέθεξιν θείαν, διὰ τοῦτο, τὴν σεπτήν σου καὶ ἁγίαν, ἐπιτελοῦμεν πανήγυριν.

Εἰς μνήμην μαρτύρων.

Ἦχος δ΄. Ὡς γενναῖον ἐν μάρτυσι.

Πολυτρόποις κολάσεσιν, ἀνδρικῶς ὁμιλήσαντες, τοῦ ἐχθροῦ τὴν ἔπαρσιν κατεβάλετε, ὁμολογοῦντες μακάριοι, τυράννων ἐνώπιον, τὸν ὀφθέντα δι᾽ ἡμᾶς, ἐν παχύτητι σώματος, καὶ τὰ ἄχραντα, ὑπομείναντα πάθη ἑκουσίως, καὶ πηγάσαντα τῷ κόσμῳ, τὸν ἱλασμὸν καὶ τὸ ἔλεος.

Οὐ λιμὸς οὐδὲ κίνδυνος, οὐ ζωὴ οὐδὲ θάνατος, οὐ λεβήτων βράσματα οὐ γῆς χάσματα, οὐδὲ θηρίων τὰ στόματα, χωρίσαι δεδύνηνται, τῆς ἀγάπης τοῦ Χριστοῦ, τὴν ὑμῶν καρτερόφρονες, γενναιότητα· πρὸς αὐτὸν γὰρ ἀπαύστως ἐνορῶντες, καὶ αὐτὸν μόνον ποθοῦντες, τοὺς δυσμενεῖς ἐτροπώσασθε.

Οἱ τρυφῆς ἀπολαύοντες, καὶ φωτὸς ἐμφορούμενοι, καὶ ζωὴν αἰώνιον κληρωσάμενοι, τοὺς πρὸς ὑμᾶς καταφεύγοντας, κινδύνων λυτρώσασθε, καὶ δεσμῶν καὶ φυλακῆς, καὶ παντοίας κακώσεως, τῇ θεόφρονι, πρὸς Θεὸν παρρησίᾳ κεχρημένοι, καὶ συμπάθειαν δεικνύντες, τὴν ἀληθῶς χριστομίμητον.

Εἰς μνήμην ἱεραρχῶν.

Ἦχος δ΄. Ὡς γενναῖον ἐν μάρτυσι.

Ὡς φωστῆρες ἀείφωτοι, νοητοῦ στερεώματος, Ἐκκλησίας ἔνδοξοι πανσεβάσμιοι, ταύτην ἀκτῖσι φαιδρύναντες, δογμάτων τῆς πίστεως, καὶ αἱρέσεων ἀχλύν,





ἀπελαύνετε ὅσιοι, καὶ πρεσβεύετε, ἐκ φθορᾶς καὶ κινδύνων λυτρωθῆναι, τοὺς ἐν πίστει ἐκτελοῦντας, τὴν ἀεισέβαστον μνήμην ὑμῶν.

Φρυκτωρίαις τοῦ Πνεύματος, ἀστραφθέντες διάνοιαν, φωτοβόλοι ἥλιοι χρηματίσαντες, ὥσπερ ἀκτῖνας τὰ δόγματα, εἰς πάντα τὰ πέρατα, ἀπαστράπτοντες πιστῶν, καταυγάζετε πλήρωμα, παμμακάριστοι, καὶ διώκετε σκότος θεοφόροι, τῶν αἱρέσεων δυνάμει, τοῦ ἐκ Παρθένου ἐκλάμψαντος.

Τῆς Χριστοῦ ἐδιώξατε, νοητοὺς λύκους ὅσιοι, Ἐκκλησίας τῇ ῥάβδῳ τῶν δογμάτων ὑμῶν, καὶ ταύτην κύκλῳ τειχίσαντες, λόγων ὀχυρότητι, παρεστήσατε Χριστῷ, ἀσινῆ καὶ ἀνάλωτον· ὃν πρεσβεύσατε, ἐκ φθορᾶς καὶ κινδύνων λυτρωθῆναι, τοὺς ἐν πίστει ἐκτελοῦντας, τὴν ἀεισέβαστον μνήμην ὑμῶν.

Εἰς μνήμην ἱερομάρτυρος.

Ἦχος α΄. Πανεύφημοι μάρτυρες.

Θεόφρον μακάριε βαφαῖς, τοῦ οἰκείου αἵματος, τὴν ἱεράν σου καὶ ἔνθεον, στολὴν ἐφαίδρυνας· ἐκ δυνάμεως γάρ, εὐσεβῶς εἰς δύναμιν, εἰς δόξαν ἀπὸ δόξης προβέβηκας, καὶ νῦν ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Θυσίαν τὸ πρότερον Θεῷ, φέρων τὴν ἀναίμακτον, ὡς ἱερεὺς ἐννομώτατος, ὡς ὁλοκάρπωμα, καὶ δεκτὴν θυσίαν, σεαυτὸν δι᾽ αἵματος, ὡς μάρτυς ἀληθέστατος

ὕστερον, Χριστῷ προσήγαγες, θεορρῆμον πανσεβάσμιε, ὃν δυσώπει, ὑπὲρ τῶν ὑμνούντων σε.

Μαρτύρων στρατεύματα Χριστῷ, μάκαρ προσενήνοχας, ταῖς ὑποθήκαις σου ἔνδοξε, καὶ παραινέσεσι, νουθετῶν διδάσκων, καὶ σαφὲς ὑπόδειγμα, θεόφρον σεαυτὸν παρεχόμενος, μεθ' ὧν ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Εἰς μνήμην ἱερομαρτύρων.

Ἦχος α΄. Πανεύφημοι μάρτυρες.

Τῆς ἱερωσύνης τὴν στολήν, ὄντως ἐλαμπρύνατε, τοῦ μαρτυρίου τοῖς αἵμασι, καὶ ἐφαιδρύνατε, φαιδρῶς αὐγασθέντες, σὺν ἀγγέλοις ᾄδετε, τῷ Κτίστῃ παρεστῶτες θεράποντες, ὃν ἱκετεύσατε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Θεόπνευστον ὄργανον ὑμεῖς, ὄντως ἀνεδείχθητε, ἀναφωνοῦν τὰ ἀπόρρητα, Θεοῦ μυστήρια, τῆς Γραφῆς τῆς θείας, καὶ εἰδώλων ἄνοιαν, ἐλέγχοντες Χριστῷ προσηγάγετε, ὃν ἱκετεύσατε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Ὡς μύρον τὰ αἵματα ὑμῶν, Χριστῷ προσηνέγκατε, ὡς δι' αὐτὸν ἐκχεόμενα, δι' ὧν μυρίζετε, τὰς καρδίας πάντων, τῶν πιστῶς ὑμνούντων ὑμᾶς, καὶ πόθῳ εὐφημούντων πανίεροι, καὶ νῦν πρεσβεύσατε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.





Εἰς μνήμην ὁσίου.

Ἦχος δ΄. Ἔδωκας σημείωσιν.

Πᾶσαν ἡδυπάθειαν, ὑποπιάζων τὸ σῶμά σου, ἀπηρνήσω θεόσοφε, πικραίνων τὴν αἴσθησιν, ἐγκρατείας πόνοις, καὶ σκληραγωγίαις, ὑπομονῇ τε πειρασμῶν, καὶ καρτερίᾳ τῶν περιστάσεων, ἀνθ' ὧν τὴν ἀτελεύτητον, ἀντιλαμβάνεις ἀπόλαυσιν, καὶ τρυφὴν ἀδιάδοχον, καὶ χαρὰν ἀνεκλάλητον.

Δρόμον τῆς ἀσκήσεως, ἀπεριτρέπτως τετέλεκας, καὶ τὴν πίστιν τετήρηκας· ἐντεῦθεν καὶ στέφανον, ἐκομίσω πάτερ, τῆς δικαιοσύνης, ὃν σοι ἡτοίμασε Χριστός, ὁ κατ' ἀξίαν νέμων τὰ ἔπαθλα, καὶ γέρα χαριζόμενος, καὶ τὴν τῶν πόνων ἀντίδοσιν, ὧν καὶ νῦν ἡμᾶς δρέψασθαι, θεοφόρε δυσώπησον.

Τῆς μακαριότητος, τῆς ὑπὲρ νοῦν ὀρεγόμενος, ἐλογίσω θεσπέσιε, τρυφὴν τὴν ἐγκράτειαν, τὴν πτωχείαν πλοῦτον, τὴν ἀκτημοσύνην, περιουσίαν ἀληθῆ, καὶ εὐδοξίαν τὴν μετριότητα· διὸ καὶ τῆς ἐφέσεως, τῆς κατὰ γνώμην ἐπέτυχες, ἐν σκηναῖς αὐλιζόμενος, τῶν ἁγίων νῦν ὅσιε.

Εἰς μνήμην ὁσίων.

Ἦχος δ΄. Ὡς γενναῖον ἐν μάρτυσι.

Ἐγκρατείᾳ τὰ σώματα, θεοφόροι νεκρώσαντες, τὴν ψυχὴν ὁλόφωτον ἀπειργάσασθε, καὶ οἰκητήριον

Πνεύματος, ταύτην ἐκτελέσαντες, τῇ Τριάδι καθαρῶς, τῇ ἁγίᾳ παρίστασθε, ἱκετεύοντες, ἐκ φθορᾶς καὶ κινδύνων λυτρωθῆναι, τοὺς ἐν πίστει ἐκτελοῦντας, τὴν ἀεισέβαστον μνήμην ὑμῶν.

Λαμπρυνθέντες τῷ Πνεύματι, τῷ ἁγίῳ πανόλβιοι, πρὸς τοὺς κοσμοκράτορας παρετάξασθε, τὰς μηχανὰς γενναιότατα, τὰς τούτων νικήσαντες, συμμαχίᾳ θεϊκῇ, κατ' αὐτῶν ἀριστεύσαντες· ὅθεν σήμερον, τὴν λαμπρὰν ὑμῶν μνήμην ἐκτελοῦντες, κατὰ χρέος ἐν αἰνέσει, ὑμᾶς τιμῶμεν πανόλβιοι.

Τῇ ἀσκήσει μακάριοι, καὶ κακώσει τοῦ σώματος, θαυμαστὰ ἠνύσατε ἀγωνίσματα, Χριστῷ τὴν σάρκα δουλώσαντες, καὶ πάθη μειώσαντες, καὶ ὁρμὰς τῶν ἡδονῶν, παντελῶς χαλινώσαντες, τοῖς παλαίσμασι, καὶ συντόνῳ δεήσει θεοφόροι, καὶ ταῖς θείαις πρὸς τὸ θεῖον, καὶ ἀνενδότοις ἐντεύξεσι.

Εἰς μνήμην ὁσιομάρτυρος.

Ἦχος β'. Τριήμερος ἀνέστης.

Ἀγῶνας τοῦ σοφοῦ ἀσκητοῦ, τοὺς πόνους τοῦ ὁπλίτου Χριστοῦ, εὐφημοῦντες κατὰ χρέος οἱ πιστοί, βοήσωμεν Κυρίῳ· Αὐτοῦ ταῖς ἱκεσίαις, πάσης ἀνάγκης ἐξελοῦ ἡμᾶς.

Ἐδόθη σοι πολλὴ ἐκ Θεοῦ, εἰρήνη γενναιότατε, τῷ τὸν σάλον διελθόντι τῶν δεινῶν, ὁσίων κλέος πάτερ, γενναῖε στρατιῶτα, καὶ πρεσβευτὰ τῶν εὐφημούντων σε.





Ἐνήθλησας ἐννόμως σοφέ, καὶ γέγονας πανσόφως Θεῷ, ὥσπερ ἄλλος οἶκος σὺ τοῦ παντουργοῦ, ἔνδοξε θεοφόρε, φωστὴρ τῆς Ἐκκλησίας, μάρτυς ὁσίων ἐγκαλλώπισμα.

Εἰς μνήμην ὁσιομαρτύρων.

Ἦχος α'. Πανεύφημοι μάρτυρες.

Ἀσκήσει τὸ πρότερον σοφοί, τὰ πάθη νικήσαντες, θεοειδεῖς ἐγνωρίσθητε, νῦν δὲ ἀθλήσαντες, καὶ στεφανωθέντες, συμπολῖται ὤφθητε, τῶν ἄνω μακαρίων δυνάμεων, μεθ' ὧν πρεσβεύσατε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Πύργοι ἀκαθαίρετοι ἐχθροῦ, προσβολαῖς ἐδείχθητε, τῶν εὐσεβῶν τε κραταίωμα, καὶ τεῖχος ἄρρηκτον, καὶ βεβαία σκέπη, ὦ ὁσιομάρτυρες, ἐντεῦθεν μακαρίζεσθε πάντοτε, Χριστῷ πρεσβεύοντες, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Ἀβρόχως ἐπλεύσατε σοφοί, βίου τὸ κλυδώνιον, τῇ συνεργίᾳ τοῦ Πνεύματος, οἰακιζόμενοι, καὶ πρὸς ὅρμον θείας, χάριτος ἐφθάσατε, φωτὸς τοῦ ἀκηράτου ταῖς λάμψεσι, καταυγαζόμενοι, καὶ φωτίζοντες τοὺς μέλποντας, ἐν αἰνέσει, ὑμῶν τὸ μνημόσυνον.

Εἰς μνήμην μάρτυρος γυναικός.

Ἦχος δ΄. Ὡς γενναῖον ἐν μάρτυσι.

Ταῖς βαφαῖς ταῖς ἐξ αἵματος, σωτηρίου ἱμάτιον, σεαυτῇ πανεύφημε ἐπιχρώσασα, καὶ λαμπρυνθεῖσα τῷ Πνεύματι, Κυρίῳ μεμνήστευσαι, ἀθανάτῳ βασιλεῖ, συντηροῦντί σε ἄμωμον, ἀδιάφθορον, εἰς αἰῶνας αἰώνων ἐν θαλάμοις, οὐρανίοις ὡς παρθένον, περικαλλῆ καὶ ἀκήρατον.

Αἰκισμοῖς ὁμιλήσασα, καὶ πυρὶ προσπελάσασα, καὶ σαρκὸς σπαράγματα καρτερήσασα, καὶ τῶν λεβήτων τὰ βράσματα, γενναίως ἐνέγκασα, οὐχ ἡττήθης λογισμοῖς, οὐ ξοάνοις ἐπέθυσας, ἀλλὰ κλίνασα, τῷ Θεῷ τὸν αὐχένα τῇ τοῦ ξίφους, τιμωρίᾳ στεφηφόρος, εἰς οὐρανοὺς ἀνελήλυθας.

Παρθενίας λαμπρότητι, λαμπρυνθεῖσα πανεύφημε, μαρτυρίου ἤστραψας ἀγωνίσμασι, μὴ προσκυνῆσαι εἰδώλοις γάρ, πεισθεῖσα τὴν ἄδικον, καθυπέμεινας σφαγήν, φοινιχθεῖσα τοῖς αἵμασι, καὶ παρέστηκας, τῷ Θεῷ καὶ Δεσπότῃ στεφηφόρος, ταῖς ἐκεῖθεν πεμπομέναις, αὐγαζομένη φαιδρότησι.

Εἰς μνήμην μαρτύρων γυναικῶν.

Ἦχος α΄. Πανεύφημοι μάρτυρες.

Παρθένοι νεάνιδες Χριστέ, σοὶ στερρῶς ἀθλήσασαι, τῷ βασιλεῖ προσηνέχθησαν, ἀγαλλιόμεναι, εὐφροσύνης πλήρεις, χαρμονῆς ἀνάμεστοι, καὶ ξύλῳ τῆς ζωῆς σοι προσήγγισαν, καθικετεύουσαι, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.





Παρθένοι νεάνιδες τῶν σῶν, μύρων ὀσφραινόμεναι, σοῖς ἠκολούθησαν ἴχνεσι, τὸ σὸν μιμούμεναι, ζωηφόρον πάθος, τὸ ψυχοσωτήριον, καὶ πρὸς τὴν ἐκ νεκρῶν ἐξανάστασιν, ἐν σοὶ γηθόμεναι, εὐεργέτα καταντήσασαι, τοῦ σοῦ κάλλους, σαφῶς ἀπολαύουσι.

Παρθένοι νεάνιδες σαφῶς, Εὔας τῆς προμήτορος, ἐπιτηδείως κομίζεσθε, πόθον θεώσεως, ἀνενδότῳ νεύσει, πρὸς Θεὸν θεούμεναι, καὶ πόθῳ ἀκλινεῖ ἐπαιρόμεναι· καὶ νῦν πρεσβεύσατε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Εἰς μνήμην ὁσίας.

Ἦχος δ΄. Ὡς γενναῖον ἐν μάρτυσι.

Παρθενίαν ἀκήρατον, ἐμμελῶς ἐξασκήσασα, ἐνυμφεύθης χαίρουσα τῷ ποιήσαντι, ἀρνησαμένη τὴν πρόσκαιρον, ἀπόλαυσιν ἔνδοξε, καὶ ἀσκήσασα στερρῶς, καὶ τὸν δρόμον τελέσασα, κατηξίωσαι, οὐρανίου παστάδος δυσωποῦσα, τοῖς τιμῶσί σε ὁσία, χάριν δοθῆναι καὶ ἔλεος.

Ἐγκρατείᾳ τὸ σῶμά σου, μακαρία νεκρώσασα, τὴν ψυχὴν ἐκόσμησας καὶ ἡτοίμασας, καὶ οἰκητήριον Πνεύματος, σαυτὴν ἀπετέλεσας, καὶ συνήφθης μυστι-

κῶς, τῷ Νυμφίῳ καὶ Κτίστη σου, ὃν ἱκέτευε, ἐκ φθορᾶς καὶ κινδύνων λυτρωθῆναι, τοὺς ἐν πίστει εὐφημοῦντας, τὴν πανσεβάσμιον μνήμην σου.

Τὸ ὡραῖον τοῦ σώματος, εἰς τὸ πρῶτον ἀξίωμα, μακαρία ἔνδοξε μετερρύθμισας, κόσμον λιποῦσα τὸν πρόσκαιρον, ἀρετῶν φαιδρότητι, κατεκάλλυνας σαυτήν, καὶ τοῦ κτίστου ἐνδέδειξαι, καταγώγιον, καὶ τερπνὴ θυμηδία τοῦ Κυρίου, ὃν δυσώπει λυτρωθῆναι, τοὺς ὑμνητάς σου θεόνυμφε.

Εἰς μνήμην ὁσίων γυναικῶν.
Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Θεοφεγγεῖς ὡς βολίδες, ἐξ ὕψους φαίνουσαι, ταῖς νοηταῖς ἀκτῖσι, καταυγάζετε κόσμον, καὶ σκότος ἐκμειοῦσαι τοῦ πονηροῦ, τῶν δαιμόνων ἀθροίσματος, τὴν φωτοφόρον καὶ θείαν ὅθεν πιστῶς, ἑορτάζομεν ὑμῶν ἑορτήν.

Τοῦ παραδείσου τὰ κάλλη, κατοπτρισάμεναι, καὶ δαψιλῶς τρυφῶσαι, ἀκηράτους λειμῶνας, ἠνθήσατε τῷ κόσμῳ, γνῶσιν Θεοῦ, ἧς μετέχοντες σήμερον, τῇ διαθέσει ὁσίᾳ τὴν ψυχικήν, παγκαρπίαν γεωργοῦμεν σεμναί.

Μοναδικῇ πολιτείᾳ, κατελαμπρύνατε, τῶν ἀσκητῶν τὰ πλήθη, ἀνατείλασαι πᾶσιν, ὥσπερ τινὲς φωστῆρες, διὸ σὺν αὐτοῖς, συνδοξάζεσθε πάνσεμνοι, ἐπεντρυφῶσαι τῇ δόξῃ τῇ θεϊκῇ, καὶ πρεσβεύουσαι σωθῆναι ἡμᾶς.



# ΕΥΧΑΙ ΚΑΤΑΝΥΚΤΙΚΑΙ
## ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΑΙ ΚΑΤΑ ΠΡΟΑΙΡΕΣΙΝ

### Εὐχὴ ζ΄ τοῦ Ὄρθρου.*

Ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ ἐξαναστήσας ἡμᾶς ἐκ τῶν κοιτῶν ἡμῶν καὶ ἐπισυναγαγὼν ἐπὶ τὴν ὥραν τῆς προσευχῆς, δὸς ἡμῖν χάριν ἐν ἀνοίξει τοῦ στόματος ἡμῶν καὶ πρόσδεξαι ἡμῶν τὴν κατὰ δύναμιν εὐχαριστίαν καὶ δίδαξον ἡμᾶς τὰ δικαιώματά σου, ὅτι προσεύξασθαι καθ' ὃ δεῖ οὐκ οἴδαμεν, ἐὰν μὴ σύ, Κύριε, τῷ Πνεύματί σου τῷ ἁγίῳ ὁδηγήσῃς ἡμᾶς. Διὸ δεόμεθά σου, εἴ τι ἡμάρτομεν μέχρι τῆς παρούσης ὥρας, ἄνες, ἄφες, συγχώρησον. Ἐὰν γὰρ ἀνομίας παρατηρήσῃς, Κύριε, Κύριε, τίς ὑποστήσεται; ὅτι παρὰ σοὶ ἡ ἀπολύτρωσις. Σὺ μόνος ἅγιος, βοηθός, κραταιός, ὑπερασπιστὴς τῆς ζωῆς ἡμῶν, καὶ ἐν σοὶ ἡ ὕμνησις ἡμῶν διαπαντός. Εἴη τὸ κράτος τῆς βασιλείας σου εὐλογημένον καὶ δεδοξασμένον, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

* Ἐκ τῶν 12 εὐχῶν τοῦ Ὄρθρου, τῶν ἀναγινωσκομένων ὑπὸ τοῦ ἱερέως κατὰ τὴν διάρκειαν τοῦ Ἑξαψάλμου, παρατίθενται 5, δυνάμεναι νὰ ἐνταχθοῦν εἰς τὴν κατ' ἰδίαν πρωϊνὴν προσευχήν.

## Εὐχὴ η΄ τοῦ Ὄρθρου.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὴν τοῦ ὕπνου ῥαθυμίαν ἀποσκεδάσας ἀφ' ἡμῶν καὶ συγκαλέσας ἡμᾶς κλήσει ἁγίᾳ τοῦ ἐν νυκτὶ ἐπᾶραι τὰς χεῖρας ἡμῶν καὶ ἐξομολογεῖσθαί σοι ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου, πρόσδεξαι τὰς δεήσεις ἡμῶν, τὰς ἐντεύξεις, τὰς ἐξομολογήσεις, τὰς νυκτερινὰς λατρείας. Καὶ χάρισαι ἡμῖν, ὁ Θεός, πίστιν ἀκαταίσχυντον, ἐλπίδα βεβαίαν, ἀγάπην ἀνυπόκριτον· εὐλόγησον εἰσόδους καὶ ἐξόδους, πράξεις, ἔργα, λόγους, ἐνθυμήσεις. Καὶ δὸς ἡμῖν καταντῆσαι εἰς τὰς ἀρχὰς τῆς ἡμέρας αἰνοῦντας, ὑμνοῦντας, εὐλογοῦντας τῆς σῆς ἀφράστου χρηστότητος τὴν ἀγαθότητα. Ὅτι ηὐλόγηται τὸ πανάγιόν σου ὄνομα καὶ δεδόξασται ἡ βασιλεία, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## Εὐχὴ θ΄ τοῦ Ὄρθρου.

Ἔλαμψον, Δέσποτα φιλάνθρωπε, ἐν ταῖς καρδίαις ἡμῶν τὸ τῆς σῆς θεογνωσίας ἀκήρατον φῶς, καὶ τοὺς τῆς διανοίας ἡμῶν ὀφθαλμοὺς διάνοιξον εἰς τὴν τῶν εὐαγγελικῶν σου κηρυγμάτων κατανόησιν. Ἔνθες ἡμῖν καὶ τὸν τῶν μακαρίων σου ἐντολῶν φόβον, ἵνα πάσας τὰς σαρκικὰς ἐπιθυμίας καταπατήσαντες, πνευματικὴν πολιτείαν μετέλθωμεν, πάντα τὰ πρὸς εὐαρέστησιν τὴν σὴν καὶ φρονοῦντες καὶ πράττοντες. Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς καὶ ὁ φωτισμὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν





ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## Εὐχὴ ι΄ τοῦ Ὄρθρου.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὴν διὰ μετανοίας ἄφεσιν τοῖς ἀνθρώποις δωρησάμενος καὶ τύπον ἡμῖν ἐπιγνώσεως ἁμαρτημάτων καὶ ἐξομολογήσεως τὴν τοῦ προφήτου Δαβὶδ μετάνοιαν πρὸς συγχώρησιν ἀποδείξας, αὐτός, Δέσποτα, πολλοῖς ἡμᾶς καὶ μεγάλοις περιπεπτωκότας πλημμελήμασιν ἐλέησον κατὰ τὸ μέγα σου ἔλεος, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὰ ἀνομήματα ἡμῶν, ὅτι σοὶ ἡμάρτομεν, Κύριε, τῷ καὶ τὰ ἄδηλα καὶ κρύφια τῆς καρδίας τῶν ἀνθρώπων γινώσκοντι καὶ μόνῳ ἔχοντι ἐξουσίαν ἀφιέναι ἁμαρτίας. Καρδίαν καθαρὰν κτίσον ἐν ἡμῖν· μὴ ἀπορρίψῃς ἡμᾶς ἀπὸ τοῦ προσώπου σου, ἀλλ' εὐδόκησον, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος Θεός, μέχρι τῆς ἐσχάτης ἡμῶν ἀναπνοῆς προσφέρειν σοι θυσίαν δικαιοσύνης καὶ ἀναφορὰν ἐν τοῖς ἁγίοις σου θυσιαστηρίοις. Ἐλέει καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## Εὐχὴ ια΄ τοῦ Ὄρθρου.

Ὁ Θεός, ὁ Θεὸς ἡμῶν, ὁ τὰς νοερὰς καὶ λογικὰς ὑποστησάμενος δυνάμεις τῷ σῷ θελήματι, σοῦ δεόμεθα

καὶ σὲ ἱκετεύομεν, πρόσδεξαι ἡμῶν μετὰ τῶν κτισμάτων σου πάντων τὴν κατὰ δύναμιν δοξολογίαν, καὶ ταῖς πλουσίαις τῆς σῆς ἀγαθότητος ἀντάμειψαι δωρεαῖς, ὅτι σοὶ κάμπτει πᾶν γόνυ ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων, καὶ πᾶσα πνοὴ καὶ κτίσις ὑμνεῖ τὴν ἀκατάληπτόν σου δόξαν, μόνος γὰρ εἶ ἀληθινὸς καὶ πολυέλεος. Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις τῶν οὐρανῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

### Εὐχὴ πρὸς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν. Τῆς α΄ Ὥρας.

Χριστέ, τὸ φῶς τὸ ἀληθινόν, τὸ φωτίζον καὶ ἁγιάζον πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον, σημειωθήτω ἐφ᾽ ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, ἵνα ἐν αὐτῷ ὀψόμεθα φῶς τὸ ἀπρόσιτον· καὶ κατεύθυνον τὰ διαβήματα ἡμῶν πρὸς ἐργασίαν τῶν ἐντολῶν σου, πρεσβείαις τῆς παναχράντου σου Μητρὸς καὶ πάντων σου τῶν ἁγίων. Ἀμήν.

### Εὐχαὶ τοῦ Μ. Βασιλείου, ἐκ τῆς α΄ Ὥρας.

Ὁ Θεὸς ὁ αἰώνιος, τὸ ἄναρχον καὶ ἀΐδιον φῶς, ὁ πάσης κτίσεως δημιουργός, ἡ τοῦ ἐλέους πηγή, τὸ τῆς ἀγαθότητος πέλαγος καὶ τῆς φιλανθρωπίας ἀνεξιχνίαστος ἄβυσσος, ἐπίφανον ἐφ᾽ ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, Κύριε. Λάμψον ἐν ταῖς καρδίαις ἡμῶν, νοητὲ Ἥλιε





τῆς δικαιοσύνης, καὶ τῆς σῆς εὐφροσύνης τὰς ψυχὰς ἡμῶν πλήρωσον, καὶ δίδαξον ἡμᾶς τὰ σὰ μελετᾶν ἀεὶ καὶ φθέγγεσθαι κρίματα καὶ ἐξομολογεῖσθαί σοι διηνεκῶς τῷ ἡμετέρῳ δεσπότῃ καὶ εὐεργέτῃ. Τὰ τῶν χειρῶν ἡμῶν ἔργα πρὸς τὸ σὸν κατεύθυνον θέλημα καὶ πράττειν ἡμᾶς τὰ σοὶ εὐάρεστα καὶ φίλα εὐόδωσον, ἵνα καὶ διὰ τῶν ἀναξίων ἡμῶν δοξάζηταί σου τὸ πανάγιον ὄνομα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, τῆς μιᾶς θεότητός τε καὶ βασιλείας, ᾗ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις εἰς τοὺς αἰῶνας. Ἀμήν.

### Εὐχὴ ἑτέρα τοῦ αὐτοῦ.

Ὁ ἐξαποστέλλων τὸ φῶς καὶ πορεύεται, ὁ ἀνατέλλων τὸν ἥλιον ἐπὶ δικαίους καὶ ἀδίκους, πονηρούς τε καὶ ἀγαθούς, ὁ ποιῶν ὄρθρον καὶ φωτίζων πᾶσαν τὴν οἰκουμένην, φώτισον καὶ ἡμῶν τὰς καρδίας, Δέσποτα τῶν ἁπάντων. Χάρισαι ἡμῖν ἐν τῇ παρούσῃ ἡμέρᾳ εὐαρεστεῖν σοι, διαφυλάττων ἡμᾶς ἀπὸ πάσης ἁμαρτίας καὶ πάσης πονηρᾶς πράξεως, ῥυόμενος ἡμᾶς ἀπὸ παντὸς βέλους πετομένου ἡμέρας καὶ πάσης ἀντικειμένης δυνάμεως, πρεσβείαις τῆς παναχράντου δεσποίνης ἡμῶν Θεοτόκου, τῶν ἀΰλων σου λειτουργῶν καὶ ἐπουρανίων δυνάμεων καὶ πάντων τῶν ἁγίων τῶν ἀπ᾽ αἰῶνός σοι εὐαρεστησάντων. Σὸν γάρ ἐστι τὸ ἐλεεῖν καὶ σῴζειν ἡμᾶς, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## Εὐχὴ πρὸς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν. Τοῦ Μ. Βασιλείου, ἐκ τῆς γ΄ Ὥρας.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὴν σὴν εἰρήνην δεδωκὼς τοῖς ἀνθρώποις, καὶ τὴν τοῦ παναγίου Πνεύματος δωρεὰν τοῖς σοῖς μαθηταῖς καὶ ἀποστόλοις καταπέμψας, καὶ τὰ τούτων χείλη ἐκ πυρίνων γλωσσῶν διανοίξας δυνάμει σου, διάνοιξον καὶ ἡμῶν τῶν ἁμαρτωλῶν τὰ χείλη καὶ δίδαξον ἡμᾶς πῶς δεῖ καὶ ὑπὲρ ὧν χρὴ προσεύχεσθαι. Κυβέρνησον ἡμῶν τὴν ζωήν, ὁ εὔδιος τῶν χειμαζομένων λιμήν, καὶ γνώρισον ἡμῖν ὁδὸν ἐν ᾗ πορευσόμεθα. Πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις ἡμῶν καὶ Πνεύματι ἡγεμονικῷ τὸ τῆς διανοίας ἡμῶν στήριξον ὀλισθηρόν· ἵνα καθ' ἑκάστην ἡμέραν τῷ Πνεύματί σου τῷ ἀγαθῷ πρὸς τὸ συμφέρον ὁδηγούμενοι καταξιωθῶμεν ποιεῖν τὰς ἐντολάς σου καὶ τῆς σῆς ἀεὶ μνημονεύειν ἐνδόξου καὶ ἐρευνητικῆς τῶν πεπραγμένων τοῖς ἀνθρώποις παρουσίας· καὶ μὴ τοῖς φθειρομένοις τοῦ κόσμου τούτου ἐναπατᾶσθαι τερπνοῖς, ἀλλὰ τῆς τῶν μελλόντων ὀρέγεσθαι ἀπολαύσεως ἐνίσχυσον θησαυρῶν, ὅτι εὐλογητὸς καὶ αἰνετὸς ὑπάρχεις ἐν πᾶσι τοῖς ἁγίοις σου, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## Εὐχὴ πρὸς τὸν ἄναρχον Θεόν. Τοῦ Μ. Βασιλείου, ἐκ τῆς ς΄ Ὥρας.

Θεὲ καὶ Κύριε τῶν δυνάμεων καὶ πάσης κτίσεως δημιουργέ, ὁ διὰ σπλάγχνα ἀνεικάστου ἐλέους σου τὸν μονογενῆ σου Υἱόν, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν,





καταπέμψας ἐπὶ σωτηρίᾳ τοῦ γένους ἡμῶν καὶ διὰ τοῦ τιμίου αὐτοῦ σταυροῦ τὸ χειρόγραφον τῶν ἁμαρτιῶν ἡμῶν διαρρήξας καὶ θριαμβεύσας ἐν αὐτῷ τὰς ἀρχὰς καὶ ἐξουσίας τοῦ σκότους· αὐτός, Δέσποτα φιλάνθρωπε, πρόσδεξαι καὶ ἡμῶν τῶν ἁμαρτωλῶν τὰς εὐχαριστηρίους ταύτας καὶ ἱκετηρίους ἐντεύξεις καὶ ῥῦσαι ἡμᾶς ἀπὸ παντὸς ὀλεθρίου καὶ σκοτεινοῦ παραπτώματος καὶ πάντων τῶν κακῶσαι ἡμᾶς ζητούντων ὁρατῶν καὶ ἀοράτων ἐχθρῶν. Καθήλωσον ἐκ τοῦ φόβου σου τὰς σάρκας ἡμῶν καὶ μὴ ἐκκλίνῃς τὰς καρδίας ἡμῶν εἰς λόγους ἢ εἰς λογισμοὺς πονηρίας, ἀλλὰ τῷ πόθῳ σου τρῶσον ἡμῶν τὰς ψυχάς, ἵνα πρὸς σὲ διαπαντὸς ἀτενίζοντες καὶ τῷ παρὰ σοῦ φωτὶ ὁδηγούμενοι, σὲ τὸ ἀπρόσιτον καὶ ἀΐδιον κατοπτεύοντες φῶς, ἀκατάπαυστόν σοι τὴν ἐξομολόγησιν καὶ εὐχαριστίαν ἀναπέμπωμεν, τῷ ἀνάρχῳ Πατρὶ σὺν τῷ μονογενεῖ σου Υἱῷ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## Εὐχὴ πρὸς τὴν παναγίαν Τριάδα.

Σὲ τὸν ἀγέννητον Θεὸν καὶ Πατέρα, σὲ τὸν Υἱὸν τὸν μονογενῆ, σὲ τὸ ἅγιον Πνεῦμα τὸ παράκλητον, ὦ Τριὰς παναγία, μοναδική τε καὶ ἑνιαία καὶ ἀδιαίρετε! Σὲ καὶ νῷ καὶ καρδίᾳ καὶ στόματι ὁμολογοῦμεν καὶ εὐλογοῦμεν εἰς τοὺς αἰῶνας. Ἀμήν.

## Εὐχαὶ κατανυκτικαὶ εἰς τὴν ὑπεραγίαν Θεοτόκον (ἐκ παλαιῶν χειρογράφων).

### Εὐχὴ α΄.

Ἄχραντε πανάσπιλε σεμνὴ Παρθένε,
Βασιλέα τέξασα Θεὸν καὶ Λόγον,
Γένους τῶν βροτῶν ἀρραγὴς προστασία,
Δῶρον οὖσα μέγιστον τῶν ὀρθοδόξων,
Ἔμψυχε ναὲ τοῦ Θεοῦ ζῶντος Λόγου·
Ζώωσον κἀμοῦ τὴν ψυχὴν νεκρωθεῖσαν
Ἡδοναῖς ἀτόποις τε καὶ ψυχοφθόροις.
Θαυμαστὸν παλάτιον τοῦ Βασιλέως,
Ἱλασμὸς πιστῶν καὶ ἀντίληψις κόσμου
Καὶ καταφυγὴ τῶν εἰς σὲ προστρεχόντων,
Λυχνία φωτὸς τοῦ ἀδύτου καὶ θείου,
Μαρία θεόνυμφε, παντὸς κυρία·
Νοός μου διάλυσον τὴν σκοτομήνην,
Ξένον δέ με ποίησον τοῦ ἀλλοτρίου,
Ὁλικῶς αὐτοῦ τῇ κακίᾳ πραθέντα.
Παῦσον τοὺς πολλοὺς στεναγμοὺς τῆς ψυχῆς μου,
Ῥῆξον τὰς σειρὰς τῶν κακῶν μου, Παρθένε,
Σάλῳ κινδυνεύοντι παθῶν ποικίλων.
Τὰς οὐλὰς ἀφάνισον τὰς τῆς ψυχῆς μου,
Ὑπὸ γὰρ τὴν σὴν ἀρωγὴν καταφεύγω.
Φαεινὴ παστὰς τοῦ ἀφθάρτου καὶ θείου,
Χάριν τὴν ἀέναον ἡ τετοκυῖα,
Ψυχήν μου ἀπάλλαξον παντοίας βλάβης,
Ὦ Μῆτερ Θεοῦ παντευλόγητε μόνη.





### Εὐχὴ β΄.

Ἀναμέλπων τὴν χάριν σου, Δέσποινα, δυσωπῶ σε τὸν νοῦν μου χαρίτωσον.
Βηματίζειν ὀρθῶς με εὐόδωσον
τὰς ὁδοὺς τῶν Χριστοῦ διατάξεων.
Γρηγορεῖν με πρὸς ὕμνον ἐνίσχυσον
ῥαθυμίας τὸν ὕπνον διώκουσα.
Δεδεμένον σειραῖς ὀφλημάτων μου
ἱκεσίαις σου λῦσον, Θεόνυμφε.
Ἐν νυκτὶ καὶ ἡμέρᾳ με φρούρησον
πολεμίων ἐχθρῶν λυτρουμένη με.
Ζωοδότην Θεὸν ἡ κυήσασα,
νεκρωθέντα με πάθεσι ζώωσον.
Ἡ τὸ φῶς τὸ ἀνέσπερον τέξασα,
τὴν ψυχήν μου τυφλώττουσαν φώτισον.
Θαυμαστὸν τοῦ Δεσπότου παλάτιον,
οἶκον Πνεύματος θείου με ποίησον.
Ἰατρὸν ἡ τεκοῦσα, ἰάτρευσον
τῆς ψυχῆς μου τὰ πάθη, σοῦ δέομαι.
Κυματούμενον βίου τῷ κλύδωνι
μετανοίας πρὸς τρίβους με ἴθυνον.
Λύτρωσαί με πυρὸς αἰωνίζοντος,
τοῦ βρυγμοῦ τῶν ὀδόντων καὶ σκώληκος.
Μή με δείξῃς δαιμόνων ἐπίχαρμα,
τὸν πολλαῖς ἁμαρτίαις ὑπεύθυνον.
Νεοποίησόν με παλαιούμενον
ἀθεμίτοις, πανάμωμε, πταίσμασι.

Ξένον πάσης κολάσεως δεῖξόν με
καὶ τῷ πάντων Δεσπότῃ οἰκείωσον.
Ὅπως χαίρων δοξάζω, πανάμωμε,
τὸν ἐκ σοῦ σαρκωθέντα Θεάνθρωπον.
Παναγία Παρθένε, ἐπάκουσον
τῆς φωνῆς τοῦ ἀχρείου οἰκέτου σου.
Ῥεῖθρα δός μοι δακρύων, πανάχραντε,
τῆς ψυχῆς μου τὸν ῥύπον καθαίροντα.
Στεναγμοὺς ἐκ καρδίας προσφέρειν σοι
ἀενάως εὐόδωσον, Δέσποινα.
Τὴν οἰκτρὰν λειτουργίαν μου πρόσδεξαι
καὶ Θεῷ τῷ εὐσπλάγχνῳ προσάγαγε.
Ὑπηρέτην γενέσθαι ἀξίωσον
τοῦ Υἱοῦ καὶ Θεοῦ σου, παντάνασσα.
Φωτοφόρε σκηνή, ἐνσκηνῶσαί μοι
τὴν τοῦ Πνεύματος χάριν ἀπέργασαι.
Χεῖρας αἴρω καὶ χείλη πρὸς αἴνεσιν,
μολυνθέντα καθάρισον, ἄσπιλε.
Ψυχοφθόρων σφαλμάτων με λύτρωσαι,
τὸν Χριστὸν ἐκτενῶς ἱκετεύουσα.
Ὧ τιμὴ καὶ προσκύνησις πρέπει ἀεὶ
εἰς αἰῶνας αἰώνων ἀέναος.

## Εὐχὴ γ΄.

Παναγία Παρθένε, βοήθησον,
εἰς τὴν σὴν παρρησίαν γὰρ πάρεστιν.
Οὐ καιρὸς μετανοίας νῦν, ἄθλιε,





ἀλλὰ ἀνταποδόσεως ἔστηκεν.
Μετανοίας ἀργοῦσι τὰ δάκρυα,
τῶν κολάσεων δὲ περισσεύουσι.
Στεναγμοὶ ἐπιστροφῆς οὐκ ἀκούονται,
ὀδυρμὸς γὰρ καὶ θρῆνος αἰώνιος.
Ἡ παράκλησις ἄρτι ἠσθένησεν,
ἡ γὰρ κρίσις ἀνίλεως πράττεται.
Ἀλλὰ ἄπελθε, λάβε τῶν ἔργων σου
τὴν πικρὰν καὶ δεινὴν ἀνταπόδοσιν.
Κατακαίου ὡς ὕλη ἀκάθαρτος
ἀναφλέγων πυρὰν τῆς κολάσεως.
Καὶ πορεύου γενέσθαι κατάβρωμα
ἀκοιμήτου πυρός, πικροῦ σκώληκος.
Ὡς τοῦ σκότους υἱὸς κατατρύφησον
αἰωνίζοντα ζόφον, ὡς ἔπραξας.
Ἐπαπόλαυσον μέλανα πρόσωπα
ἐπειδὴ ἐβδελύξω φῶς ἄδυτον.
Ἐκεῖ ἔσται κλαυθμὸς ἀκατάπαυστος
καὶ βρυγμὸς τῶν ὀδόντων ἐπώδυνος.
Ὁ Θεὸς ἐλεήμων μὴ δώσῃς μοι
τῶν τοιούτων κατάκρισιν δέομαι.
Ἀλλὰ πρὶν παραστῶ σου τῷ βήματι,
τῶν σφαλμάτων παράσχου μοι ἄφεσιν.
Ἱκεσίαις Μητρὸς τῆς τεκούσης σε,
τῶν ἁγίων σου πάντων, φιλάνθρωπε.
Ὅτι πρέπει σοι πᾶσα προσκύνησις,
δόξα δὲ καὶ τιμὴ εἰς αἰῶνας. Ἀμήν.



## ΚΑΝΩΝ ΙΚΕΤΗΡΙΟΣ
## ΕΙΣ ΤΟΝ ΚΥΡΙΟΝ ΗΜΩΝ ΙΗΣΟΥΝ ΧΡΙΣΤΟΝ

Ποίημα Θεοκτίστου Μοναχοῦ τοῦ Στουδίτου.

Ὠδὴ α΄. Ἦχος β΄. Ἐν βυθῷ κατέστρωσε.

Ἰησοῦ γλυκύτατε Χριστέ, Ἰησοῦ μακρόθυμε, τὰ τῆς ψυχῆς μου θεράπευσον τραύματα, Ἰησοῦ καὶ γλύκανον, τὴν καρδίαν μου πολυέλεε δέομαι, Ἰησοῦ σωτήρ μου, ἵνα μεγαλύνω σε σῳζόμενος.

Ἰησοῦ γλυκύτατε Χριστέ, Ἰησοῦ διάνοιξον, τῆς μετανοίας μοι πύλας φιλάνθρωπε, Ἰησοῦ καὶ δέξαι με, σοὶ προσπίπτοντα καὶ θερμῶς ἐξαιτούμενον, Ἰησοῦ σωτήρ μου, τῶν πλημμελημάτων τὴν συγχώρησιν.

Ἰησοῦ γλυκύτατε Χριστέ, Ἰησοῦ ἐξάρπασον, ἐκ τῆς χειρὸς τοῦ δολίου Βελίαρ με, Ἰησοῦ καὶ ποίησον, δεξιὸν κἀμὲ παραστάτην τῆς δόξης σου, Ἰησοῦ Χριστέ μου, μοίρας εὐωνύμου λυτρωσάμενος.

Θεοτοκίον.

Ἰησοῦν γεννήσασα Θεόν, Δέσποινα δυσώπησον, ὑπὲρ ἀχρείων ἱκετῶν πανάχραντε, ὅπως τῆς κολάσεως,

ταῖς πρεσβείαις σου λυτρωθῶμεν ἀμόλυντε, οἱ μεμολυσμένοι, δόξης ἀϊδίου ἀπολαύσαντες.

'Ωδὴ γ'. 'Εν πέτρᾳ με τῆς πίστεως.

Εἰσάκουσον φιλάνθρωπε 'Ιησοῦ μου, τοῦ δούλου σου βοῶντος ἐν κατανύξει, καὶ ῥῦσαι 'Ιησοῦ μου τῆς καταδίκης, καὶ τῆς κολάσεως, μόνε μακρόθυμε, 'Ιησοῦ γλυκύτατε πολυέλεε.

Ὑπόδεξαι τὸν δοῦλόν σου 'Ιησοῦ μου, προσπίπτοντα σὺν δάκρυσιν 'Ιησοῦ μου, καὶ σῶσον 'Ιησοῦ μου μετανοοῦντα, καὶ τῆς γεέννης με, Δέσποτα λύτρωσαι, 'Ιησοῦ γλυκύτατε πολυέλεε.

Τὸν χρόνον 'Ιησοῦ μου ὃν δέδωκάς μοι, εἰς πάθη ἐδαπάνησα 'Ιησοῦ μου, διό με 'Ιησοῦ μου μὴ ἀπορρίψῃς, ἀλλ' ἀνακάλεσαι, δέομαι Δέσποτα, 'Ιησοῦ γλυκύτατε καὶ διάσωσον.

Θεοτοκίον.

Παρθένε ἡ τεκοῦσα τὸν 'Ιησοῦν μου, ἱκέτευε ῥυσθῆναί με τῆς γεέννης, ἡ μόνη προστασία τῶν θλιβομένων, θεοχαρίτωτε, καὶ καταξίωσον, τῆς ζωῆς πανάμωμε τῆς ἀγήρω με.

Κάθισμα. Ἦχος α'. Τὸν τάφον σου Σωτήρ.

Σωτήρ μου 'Ιησοῦ, ὁ τὸν ἄσωτον σώσας, σωτήρ μου 'Ιησοῦ, ὁ δεξάμενος πόρνην, κἀμὲ νῦν ἐλέησον, 'Ιη-





σοῦ πολυέλεε· σῶσον οἴκτειρον, ὦ 'Ιησοῦ εὐεργέτα, ὥσπερ ᾤκτειρας, τὸν Μανασσῆν 'Ιησοῦ μου, ὡς μόνος φιλάνθρωπος.

'Ωδὴ δ'. 'Ελήλυθας ἐκ παρθένου.

Θεράπευσον, 'Ιησοῦ μου ψυχῆς μου τὰ τραύματα, 'Ιησοῦ μου δέομαι, καὶ τῆς χειρός με ἐξάρπασον, 'Ιησοῦ μου εὔσπλαγχνε, τοῦ ψυχοφθόρου Βελίαρ καὶ διάσωσον.

Ἡμάρτηκα, 'Ιησοῦ μου γλυκύτατε εὔσπλαγχνε· 'Ιησοῦ μου σῶσόν με, τὸν προσφυγόντα τῇ σκέπῃ σου, 'Ιησοῦ μακρόθυμε, καὶ βασιλείας τῆς σῆς με καταξίωσον.

Οὐχ ἥμαρτεν, 'Ιησοῦ μου οὐδεὶς ὥσπερ ἥμαρτον, ἐγὼ ὁ ταλαίπωρος, νῦν δὲ προσπίπτω δεόμενος· 'Ιησοῦ μου σῶσόν με, καὶ τὴν ζωὴν 'Ιησοῦ μου κληροδότησον.

Θεοτοκίον.

Πανύμνητε, 'Ιησοῦν ἡ γεννήσασα Κύριον, αὐτὸν καθικέτευε, τοῦ λυτρωθῆναι κολάσεως, πάντας τοὺς ὑμνοῦντάς σε, καὶ Θεοτόκον κυρίως ὀνομάζοντας.

'Ωδὴ ε'. 'Ο φωτισμὸς τῶν ἐν σκότει.

Σὺ φωτισμός, 'Ιησοῦ μου νοός μου, σὺ σωτηρία, τῆς ἀπεγνωσμένης ψυχῆς μου Σῶτερ, σὺ 'Ιησοῦ μου τῆς κολάσεως ῥῦσαι, καὶ γεέννης ἐμὲ κραυγάζοντα, σῶσον 'Ιησοῦ μου, Χριστέ με τὸν ἄθλιον.

Ὁλοσχερῶς, Ἰησοῦ μου πρὸς πάθη τῆς ἀτιμίας, καταβεβλημένος ἤδη κραυγάζω· σὺ Ἰησοῦ μου, βοηθείας μοι χεῖρα, καταπέμψας ἔκσπασον κράζοντα, σῶσον Ἰησοῦ μου, Χριστέ με τὸν ἄθλιον.

Βέβηλον νοῦν, Ἰησοῦ περιφέρων ἀναβοῶ σοι· κάθαρον τοῦ ῥύπου με τῶν πταισμάτων, καὶ λύτρωσαί με τὸν εἰς βάθη κακίας, ἐξ ἀγνωσίας κατολισθήσαντα, σῶτερ Ἰησοῦ μου, καὶ σῶσόν με δέομαι.

Θεοτοκίον.

Τὸν Ἰησοῦν, ἡ γεννήσασα Κόρη θεοκυῆτορ, τοῦτον ἐκδυσώπει σωθῆναι πάντας τοὺς ὀρθοδόξους, μοναστὰς καὶ μιγάδας, καὶ γεέννης ῥυσθῆναι κράζοντας· πλήν σου προστασίαν, βεβαίαν οὐκ ἔγνωμεν.

Ὠδὴ ς΄. Ἐν ἀβύσσῳ πταισμάτων.

Ἰησοῦ μου Χριστὲ πολυέλεε, ἐξομολογούμενον δέξαι με Δέσποτα, ὦ Ἰησοῦ καὶ σῶσόν με, καὶ φθορᾶς Ἰησοῦ με ἐξάρπασον.

Ἰησοῦ μου οὐ γέγονεν ἕτερος, ἄσωτος οὐδείς, ὡς ἐγὼ ὁ ταλαίπωρος, ὦ Ἰησοῦ φιλάνθρωπε· ἀλλὰ σὺ Ἰησοῦ με διάσωσον.

Ἰησοῦ μου καὶ πόρνην καὶ ἄσωτον, καὶ τὸν Μανασσῆν καὶ τελώνην νενίκηκα, ὦ Ἰησοῦ μου πάθεσι, καὶ λῃστὴν Ἰησοῦ Νινευΐτας τε.





Θεοτοκίον.

Ἰησοῦν τὸν Χριστόν μου κυήσασα, ἄχραντε Παρθένε, ἡ μόνη ἀμόλυντος, μεμολυσμένον ὄντα με, πρεσβειῶν σου ὑσσώπῳ νῦν κάθαρον.

Κοντάκιον. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Ἰησοῦ γλυκύτατε, τὸ φῶς τοῦ κόσμου, τῆς ψυχῆς μου φώτισον, τοὺς ὀφθαλμοὺς Υἱὲ Θεοῦ, τῇ θεαυγεῖ σου λαμπρότητι, ἵνα ὑμνῶ σε τὸ φῶς τὸ ἀνέσπερον.

Ὠδὴ ζ΄. Εἰκόνος χρυσῆς.

Χριστὲ Ἰησοῦ, οὐδεὶς ἥμαρτεν ἐν γῇ ἐκ τοῦ αἰῶνος, ὦ Ἰησοῦ μου ὥσπερ ἥμαρτον, ἐγὼ ὁ τάλας καὶ ἄσωτος· ὅθεν Ἰησοῦ μου βοῶ σοι· μελῳδοῦντά με οἴκτειρον, εὐλογητὸς εἶ ὁ Θεός, ὁ τῶν πατέρων ἡμῶν.

Χριστὲ Ἰησοῦ, ἐν τῷ φόβῳ σου βοῶ καθήλωσόν με, ὦ Ἰησοῦ μου καὶ κυβέρνησον, νῦν πρὸς λιμένα τὸν εὔδιον, ὅπως Ἰησοῦ μου οἰκτίρμον, μελῳδῶ σοι σῳζόμενος· εὐλογητὸς εἶ ὁ Θεός, ὁ τῶν πατέρων ἡμῶν.

Χριστὲ Ἰησοῦ, μυριάκις ὑπεσχέθην σοι ὁ τάλας, ὦ Ἰησοῦ μου τὴν μετάνοιαν, ἀλλ᾽ ἐψευσάμην ὁ ἄθλιος. Ὅθεν Ἰησοῦ μου βοῶ σοι· τὴν ἀναίσθητον μένουσαν, ψυχήν μου φώτισον Χριστέ, ὁ τῶν πατέρων Θεός.

Θεοτοκίον.

Χριστὸν Ἰησοῦν, ἡ γεννήσασα φρικτῶς καὶ ὑπὲρ φύσιν, αὐτὸν δυσώπει παναμώμητε, τὰ παρὰ φύσιν

μου πταίσματα, πάντα συγχωρῆσαί μοι Κόρη, ἵνα κράζω σῳζόμενος· εὐλογημένη ἡ Θεὸν σαρκὶ κυήσασα.

Ὠδὴ η'. Τὸν ἐν καμίνῳ τοῦ πυρός.

Σὲ Ἰησοῦ μου δυσωπῶ· ὡς τὴν πόρνην Ἰησοῦ μου ἐλυτρώσω, τῶν πολλῶν ἐγκλημάτων, οὕτω κἀμὲ Ἰησοῦ, Χριστέ μου λύτρωσαι καὶ κάθαρον, τὴν ῥερυπωμένην ψυχήν μου Ἰησοῦ μου.

Καθυποκύψας Ἰησοῦ, ταῖς ἀλόγοις ἡδοναῖς ἄλογος ὤφθην, καὶ τοῖς κτήνεσιν ὄντως, ὦ Ἰησοῦ μου οἰκτρῶς, ὁ τάλας Σῶτερ ἀφωμοίωμαι· ὅθεν Ἰησοῦ με τῆς ἀλογίας ῥῦσαι.

Περιπεσὼν ὦ Ἰησοῦ, ψυχοφθόροις ἐν λησταῖς ἀπεγυμνώθην, τὴν στολὴν Ἰησοῦ μου, τὴν θεοΰφαντον νῦν, καὶ κεῖμαι μώλωψι κατάστικτος· ἔλαιον Χριστέ μου ἐπίχεε καὶ οἶνον.

Θεοτοκίον.

Τὸν Ἰησοῦν μου καὶ Θεόν, ἡ βαστάσασα Χριστὸν ἀνερμηνεύτως, Θεοτόκε Μαρία, τοῦτον δυσώπει ἀεί, κινδύνων σῴζεσθαι τοὺς δούλους σου, καὶ τοὺς ὑμνητάς σου ἀπείρανδρε Παρθένε.

Ὠδὴ θ'. Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον.

Τὸν Μανασσῆν Ἰησοῦ μου, τὸν τελώνην τὴν πόρνην, τὸν ἄσωτον οἰκτίρμον Ἰησοῦ, καὶ τὸν ληστὴν ὑπερ-





βέβηκα, Ἰησοῦ μου ἐν ἔργοις, αἰσχίστοις καὶ ἀτόποις Ἰησοῦ· ἀλλὰ σὺ Ἰησοῦ μου, προφθάσας με διάσωσον.

Τοὺς ἐξ Ἀδὰμ Ἰησοῦ μου, ἁμαρτήσαντας πάντας, πρὸ νόμου καὶ ἐν νόμῳ Ἰησοῦ, καὶ μετὰ νόμον ὁ ἄθλιος, Ἰησοῦ μου καὶ χάριν, νενίκηκα τοῖς πάθεσιν οἰκτρῶς, ἀλλὰ σὺ Ἰησοῦ μου, τοῖς κρίμασί σου σῶσόν με.

Μὴ χωρισθῶ Ἰησοῦ μου, τῆς ἀφράστου σου δόξης, μὴ τύχω τῆς μερίδος Ἰησοῦ, τῆς εὐωνύμου γλυκύτατε, Ἰησοῦ ἀλλὰ σύ με, τοῖς δεξιοῖς προβάτοις σου Χριστέ, Ἰησοῦ μου συντάξας, ἀνάπαυσον ὡς εὔσπλαγχνος.

Θεοτοκίον.

Τὸν Ἰησοῦν Θεοτόκε, ὃν ἐβάστασας μόνη, ἀπείρανδρε Παρθένε Μαριάμ, τοῦτον ἁγνὴ ἐξιλέωσαι, ὡς Υἱόν σου καὶ κτίστην, ῥυσθῆναι τοὺς προστρέχοντας εἰς σέ, πειρασμῶν καὶ κινδύνων, καὶ τοῦ πυρὸς τοῦ μέλλοντος.

Στιχηρὰ προσόμοια.
Ἦχος πλ. δ'. Ὅλην ἀποθέμενοι.

Ἰησοῦ γλυκύτατε, ψυχῆς ἐμῆς θυμηδία, Ἰησοῦ ἡ κάθαρσις, τοῦ νοός μου Δέσποτα πολυέλεε, Ἰησοῦ σῶσόν με, Ἰησοῦ σωτήρ μου, Ἰησοῦ μου παντοδύναμε, μὴ καταλίπῃς με, σῶτερ Ἰησοῦ με ἐλέησον, καὶ λύτρωσαι κολάσεως, πάσης Ἰησοῦ καὶ ἀξίωσον, τῆς τῶν σῳζομένων, μερίδος Ἰησοῦ καὶ τῷ χορῷ, τῶν ἐκλεκτῶν σού με σύνταξον, Ἰησοῦ φιλάνθρωπε.

Ἰησοῦ γλυκύτατε, τῶν ἀποστόλων ἡ δόξα, Ἰησοῦ μου καύχημα, τῶν μαρτύρων Δέσποτα παντοδύναμε, Ἰησοῦ σῶσόν με, Ἰησοῦ σωτήρ μου, Ἰησοῦ μου ὡραιότατε, τὸν σοὶ προστρέχοντα, σῶτερ Ἰησοῦ μου ἐλέησον, πρεσβείαις τῆς τεκούσης σε, πάντων Ἰησοῦ τῶν ἁγίων σου, προφητῶν τε πάντων, σωτήρ μου Ἰησοῦ καὶ τῆς τρυφῆς, τοῦ παραδείσου ἀξίωσον, Ἰησοῦ πανάγαθε.

Δόξα.

Ἰησοῦ γλυκύτατε, τῶν μοναζόντων τὸ κλέος, Ἰησοῦ μακρόθυμε, ἀσκητῶν ἐντρύφημα καὶ καλλώπισμα· Ἰησοῦ σῶσόν με, Ἰησοῦ σωτήρ μου, Ἰησοῦ μου πολυέλεε, χειρὸς ἐξάρπασον, σῶτερ Ἰησοῦ μου τοῦ δράκοντος, καὶ τούτου τῶν παγίδων με, σῶτερ Ἰησοῦ ἐλευθέρωσον, λάκκου κατωτάτου, σωτήρ μου Ἰησοῦ ἀναγαγών, καὶ δεξιοῖς συναρίθμησον, Ἰησοῦ προβάτοις με.

Καὶ νῦν. Θεοτοκίον.

Μὴ καταπιστεύσῃς με, ἀνθρωπίνῃ προστασίᾳ, Παναγία Δέσποινα, ἀλλὰ δέξαι δέησιν τοῦ ἱκέτου σου· θλῖψις γὰρ ἔχει με, φέρειν οὐ δύναμαι, τῶν δαιμόνων τὰ τοξεύματα· σκέπην οὐ κέκτημαι, οὐδὲ ποῦ προσφύγω ὁ ἄθλιος, πάντοθεν πολεμούμενος, καὶ παραμυθίαν οὐκ ἔχω πλήν σου· Δέσποινα τοῦ κόσμου, ἐλπὶς καὶ προστασία τῶν πιστῶν, μή μου παρίδῃς τὴν δέησιν, τὸ συμφέρον ποίησον.





## Εὐχὴ εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν.

Δέσποτα Χριστέ, ὁ Θεός, ὁ τοῖς πάθεσί σου τὰ πάθη μου θεραπεύσας καὶ τοῖς τραύμασί σου τὰ τραύματά μου ἰατρεύσας, χάρισαί μοι τῷ πολλά σοι πταίσαντι δάκρυα κατανύξεως· συγκέρασόν μου τὸ σῶμα ἀπὸ ὀσμῆς τοῦ ζωοποιοῦ σώματός σου καὶ γλύκανόν μου τὴν ψυχὴν τῷ σῷ τιμίῳ αἵματι ἀπὸ τῆς πικρίας, ἧν με ὁ ἀντίδικος ἐπότισεν. Ὕψωσον τὸν νοῦν μου πρὸς σέ, κάτω ἑλκυσθέντα, καὶ ἀνάγαγέ με ἀπὸ τοῦ χάσματος τῆς ἀπωλείας, ὅτι οὐκ ἔχω μετάνοιαν, οὐκ ἔχω κατάνυξιν, οὐκ ἔχω δάκρυον παρακλητικόν, τὰ ἐπανάγοντα τὰ τέκνα πρὸς τὴν ἰδίαν κληρονομίαν. Ἐσκότισμαι τὸν νοῦν ἐν τοῖς βιωτικοῖς πάθεσι καὶ οὐκ ἰσχύω ἀτενίσαι πρὸς σὲ ἐν ὀδύνῃ· οὐ δύναμαι θερμανθῆναι τοῖς δάκρυσι τῆς πρὸς σὲ ἀγάπης. Ἀλλά, Δέσποτα Κύριε, Ἰησοῦ Χριστέ, ὁ θησαυρὸς τῶν ἀγαθῶν, δώρησαί μοι μετάνοιαν ὁλόκληρον καὶ καρδίαν ἐπίπονον εἰς ἀναζήτησίν σου· χάρισαί μοι τὴν χάριν σου καὶ ἀνακαίνισον ἐν ἐμοὶ τὰς μορφὰς τῆς σῆς εἰκόνος. Κατέλιπόν σε, μή με ἐγκαταλίπῃς· ἔξελθε εἰς ἀναζήτησίν μου, ἐπανάγαγέ με πρὸς τὴν νομήν σου, συναρίθμησόν με τοῖς προβάτοις τῆς ἐκλεκτῆς σου ποίμνης καὶ διάθρεψόν με σὺν αὐτοῖς ἐκ τῆς χλόης τῶν θείων σου μυστηρίων, πρεσβείαις τῆς πανάγνου Μητρός σου καὶ πάντων τῶν ἁγίων σου. Ἀμήν.



# ΑΚΟΛΟΥΘΙΑ
## ΤΟΥ ΜΙΚΡΟΥ ΠΑΡΑΚΛΗΤΙΚΟΥ ΚΑΝΟΝΟΣ ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ

Ψαλλομένου ἐν πάσῃ περιστάσει καὶ θλίψει ψυχῆς.

Ποίημα Θεοστηρίκτου Μοναχοῦ·
κατ' ἄλλους δέ, Θεοφάνους.

Εὐλογήσαντος τοῦ ἱερέως λέγομεν τὸν ψαλμὸν ρμβ' (142) (σελ. 64). Καὶ εὐθὺς τὸ Θεὸς Κύριος μετὰ τῶν στίχων αὐτοῦ ἐξ ἑκατέρων τῶν χορῶν (σελ. 35).

Εἶτα τὰ παρόντα τροπάρια. Ἦχος δ'.

Τῇ Θεοτόκῳ ἐκτενῶς νῦν προσδράμωμεν, ἁμαρτωλοὶ καὶ ταπεινοὶ καὶ προσπέσωμεν, ἐν μετανοίᾳ κράζοντες ἐκ βάθους ψυχῆς· Δέσποινα βοήθησον, ἐφ' ἡμῖν σπλαγχνισθεῖσα· σπεῦσον ἀπολλύμεθα, ὑπὸ πλήθους πταισμάτων· μὴ ἀποστρέψῃς σοὺς δούλους κενούς, σὲ γὰρ καὶ μόνην ἐλπίδα κεκτήμεθα.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν.

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι· εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο, ἐκ τοσούτων κινδύνων; τίς δὲ

διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; οὐχ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ· σοὺς γὰρ δούλους σῴζεις ἀεὶ ἐκ παντοίων δεινῶν.

Τὸν πεντηκοστὸν Ψαλμὸν (σελ. 62). Καὶ ἀρχόμεθα τοῦ κανόνος. Εἰς τὰ δύο πρῶτα τροπάρια ἑκάστης ᾠδῆς ψάλλομεν Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς, εἰς δὲ τὰ δύο τελευταῖα ἀντιστοίχως Δόξα. Καὶ νῦν.

Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὁ εἱρμός.

Ὑγρὰν διοδεύσας ὡσεὶ ξηράν, καὶ τὴν αἰγυπτίαν, μοχθηρίαν διαφυγών, ὁ Ἰσραηλίτης ἀνεβόα· Τῷ λυτρωτῇ καὶ Θεῷ ἡμῶν ᾄσωμεν.

Τροπάρια.

Πολλοῖς συνεχόμενος πειρασμοῖς, πρὸς σὲ καταφεύγω, σωτηρίαν ἐπιζητῶν· ὢ Μῆτερ τοῦ Λόγου καὶ Παρθένε, τῶν δυσχερῶν καὶ δεινῶν με διάσωσον.

Παθῶν με ταράττουσι προσβολαί, πολλῆς ἀθυμίας ἐμπιπλῶσαί μου τὴν ψυχήν· εἰρήνευσον Κόρη τῇ γαλήνῃ, τῇ τοῦ Υἱοῦ καὶ Θεοῦ σου πανάμωμε.

Σωτῆρα τεκοῦσάν σε καὶ Θεόν, δυσωπῶ Παρθένε, λυτρωθῆναί με τῶν δεινῶν· σοὶ γὰρ νῦν προσφεύγων ἀνατείνω, καὶ τὴν ψυχὴν καὶ τὴν διάνοιαν.

Νοσοῦντα τὸ σῶμα καὶ τὴν ψυχήν, ἐπισκοπῆς θείας, καὶ προνοίας τῆς παρὰ σοῦ, ἀξίωσον μόνη Θεομῆτορ, ὡς ἀγαθὴ ἀγαθοῦ τε λοχεύτρια.





Ὠδὴ γ΄. Ὁ εἱρμός.

Οὐρανίας ἁψῖδος, ὀροφουργὲ Κύριε, καὶ τῆς Ἐκκλησίας δομῆτορ, σύ με στερέωσον, ἐν τῇ ἀγάπῃ τῇ σῇ, τῶν ἐφετῶν ἡ ἀκρότης, τῶν πιστῶν τὸ στήριγμα, μόνε φιλάνθρωπε.

Τροπάρια.

Προστασίαν καὶ σκέπην, ζωῆς ἐμῆς τίθημι, σὲ θεογεννῆτορ Παρθένε· σύ με κυβέρνησον, πρὸς τὸν λιμένα σου, τῶν ἀγαθῶν ἡ αἰτία, τῶν πιστῶν τὸ στήριγμα, μόνη πανύμνητε.

Ἱκετεύω Παρθένε, τὸν ψυχικὸν τάραχον, καὶ τῆς ἀθυμίας τὴν ζάλην, διασκεδάσαι μου· σὺ γὰρ Θεόνυμφε, τὸν ἀρχηγὸν τῆς γαλήνης, τὸν Χριστὸν ἐκύησας, μόνη πανάχραντε.

Εὐεργέτην τεκοῦσα, τὸν τῶν καλῶν αἴτιον, τῆς εὐεργεσίας τὸν πλοῦτον, πᾶσιν ἀνάβλυσον· πάντα γὰρ δύνασαι, ὡς δυνατὸν ἐν ἰσχύϊ, τὸν Χριστὸν κυήσασα, θεομακάριστε.

Χαλεπαῖς ἀρρωστίαις, καὶ νοσεροῖς πάθεσιν, ἐξεταζομένῳ Παρθένε, σύ μοι βοήθησον· τῶν ἰαμάτων γάρ, ἀνελλιπῆ σε γινώσκω, θησαυρὸν πανάμωμε, τὸν ἀδαπάνητον.

Διάσωσον ἀπὸ κινδύνων τοὺς δούλους σου Θεοτόκε, ὅτι πάντες μετὰ Θεὸν εἰς σὲ καταφεύγομεν, ὡς ἄρρηκτον τεῖχος καὶ προστασίαν.

Ἐπίβλεψον ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Εἶτα μνημονεύει ὁ ἱερεύς, ὑπὲρ ὧν ἡ παράκλησις γίνεται, καὶ ἡμεῖς ψάλλομεν τὸ Κύριε, ἐλέησον ιε΄. Μετὰ δὲ τὴν ἐκφώνησιν, τὸ ἑπόμενον·

### Κάθισμα. Ἦχος β΄. Τὰ ἄνω ζητῶν.

Πρεσβεία θερμή, καὶ τεῖχος ἀπροσμάχητον, ἐλέους πηγή, τοῦ κόσμου καταφύγιον, ἐκτενῶς βοῶμέν σοι· Θεοτόκε Δέσποινα πρόφθασον, καὶ ἐκ κινδύνων λύτρωσαι ἡμᾶς, ἡ μόνη ταχέως προστατεύουσα.

### Ὠδὴ δ΄. Ὁ εἱρμός.

Εἰσακήκοα Κύριε, τῆς οἰκονομίας σου τὸ μυστήριον, κατενόησα τὰ ἔργα σου, καὶ ἐδόξασά σου τὴν θεότητα.

### Τροπάρια.

Τῶν παθῶν μου τὸν τάραχον, ἡ τὸν κυβερνήτην τεκοῦσα Κύριον, καὶ τὸν κλύδωνα κατεύνασον, τῶν ἐμῶν πταισμάτων Θεονύμφευτε.

Εὐσπλαγχνίας τὴν ἄβυσσον, ἐπικαλουμένῳ τῆς σῆς παράσχου μοι, ἡ τὸν εὔσπλαγχνον κυήσασα, καὶ σωτῆρα πάντων τῶν ὑμνούντων σε.

Ἀπολαύοντες πάναγνε, τῶν σῶν δωρημάτων εὐχαριστήριον, ἀναμέλπομεν ἐφύμνιον, οἱ γινώσκοντές σε Θεομήτορα.





Οἱ ἐλπίδα καὶ στήριγμα, καὶ τῆς σωτηρίας τεῖχος ἀκράδαντον, κεκτημένοι σε πανύμνητε, δυσχερείας πάσης ἐκλυτρούμεθα.

### Ὠδὴ ε΄. Ὁ εἱρμός.

Φώτισον ἡμᾶς, τοῖς προστάγμασί σου Κύριε, καὶ τῷ βραχίονί σου τῷ ὑψηλῷ, τὴν σὴν εἰρήνην παράσχου ἡμῖν φιλάνθρωπε.

### Τροπάρια.

Ἔμπλησον ἁγνή, εὐφροσύνης τὴν καρδίαν μου, τὴν σὴν ἀκήρατον διδοῦσα χαράν, τῆς εὐφροσύνης ἡ γεννήσασα τὸν αἴτιον.

Λύτρωσαι ἡμᾶς, ἐκ κινδύνων Θεοτόκε ἁγνή, ἡ αἰωνίαν τεκοῦσα λύτρωσιν, καὶ τὴν εἰρήνην τὴν πάντα νοῦν ὑπερέχουσαν.

Λῦσον τὴν ἀχλύν, τῶν πταισμάτων μου Θεόνυμφε, τῷ φωτισμῷ τῆς σῆς λαμπρότητος, ἡ φῶς τεκοῦσα τὸ θεῖον καὶ προαιώνιον.

Ἴασαι ἁγνή, τῶν παθῶν μου τὴν ἀσθένειαν, ἐπισκοπῆς σου ἀξιώσασα, καὶ τὴν ὑγείαν τῇ πρεσβείᾳ σου παράσχου μοι.

### Ὠδὴ ς΄. Ὁ εἱρμός.

Τὴν δέησιν, ἐκχεῶ πρὸς Κύριον, καὶ αὐτῷ ἀπαγγελῶ μου τὰς θλίψεις, ὅτι κακῶν ἡ ψυχή μου ἐπλή-

σθη, καὶ ἡ ζωή μου τῷ ᾅδῃ προσήγγισε· καὶ δέομαι ὡς Ἰωνᾶς· Ἐκ φθορᾶς ὁ Θεός με ἀνάγαγε.

Τροπάρια.

Θανάτου, καὶ τῆς φθορᾶς ὡς ἔσωσεν, ἑαυτὸν ἐκδεδωκὼς τῷ θανάτῳ, τὴν τῇ φθορᾷ καὶ θανάτῳ μου φύσιν, κατασχεθεῖσαν Παρθένε δυσώπησον, τὸν Κύριόν σου καὶ Υἱόν, τῆς ἐχθρῶν κακουργίας με ῥύσασθαι.

Προστάτιν σε, τῆς ζωῆς ἐπίσταμαι, καὶ φρουρὰν ἀσφαλεστάτην Παρθένε, τῶν πειρασμῶν διαλύουσαν ὄχλον, καὶ ἐπηρείας δαιμόνων ἐλαύνουσαν· καὶ δέομαι διαπαντός, ἐκ φθορᾶς τῶν παθῶν μου ῥυσθῆναί με.

Ὡς τεῖχος, καταφυγῆς κεκτήμεθα, καὶ ψυχῶν σε παντελῆ σωτηρίαν, καὶ πλατυσμὸν ἐν ταῖς θλίψεσι Κόρη, καὶ τῷ φωτί σου ἀεὶ ἀγαλλόμεθα. Ὦ Δέσποινα καὶ νῦν ἡμᾶς, τῶν παθῶν καὶ κινδύνων διάσωσον.

Ἐν κλίνῃ νῦν, ἀσθενῶν κατάκειμαι, καὶ οὐκ ἔστιν ἴασις τῇ σαρκί μου· ἀλλ' ἡ Θεὸν καὶ σωτῆρα τοῦ κόσμου, καὶ τὸν λυτῆρα τῶν νόσων κυήσασα, σοῦ δέομαι τῆς ἀγαθῆς· ἐκ φθορᾶς νοσημάτων ἀνάστησον.

Διάσωσον ἀπὸ κινδύνων τοὺς δούλους σου Θεοτόκε, ὅτι πάντες μετὰ Θεὸν εἰς σὲ καταφεύγομεν, ὡς ἄρρηκτον τεῖχος καὶ προστασίαν.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παρρησίαν.





Ὁ ἱερεὺς μνημονεύει ὡς δεδήλωται. Μετὰ δὲ τὴν ἐκφώνησιν·

Κοντάκιον. Ἦχος β'.

Προστασία τῶν Χριστιανῶν ἀκαταίσχυντε, μεσιτεία πρὸς τὸν Ποιητὴν ἀμετάθετε, μὴ παρίδῃς ἁμαρτωλῶν δεήσεων φωνάς, ἀλλὰ πρόφθασον ὡς ἀγαθή, εἰς τὴν βοήθειαν ἡμῶν, τῶν πιστῶς κραυγαζόντων σοι· τάχυνον εἰς πρεσβείαν, καὶ σπεῦσον εἰς ἱκεσίαν, ἡ προστατεύουσα ἀεί, Θεοτόκε τῶν τιμώντων σε.

Καὶ εὐθὺς τὸ προκείμενον.

Μνησθήσομαι τοῦ ὀνόματός σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ.

Στίχ. Ἄκουσον, θύγατερ, καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου, καὶ ἐπιλάθου τοῦ λαοῦ σου καὶ τοῦ οἴκου τοῦ πατρός σου, καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου.

Εὐαγγέλιον.

Ἐκ τοῦ κατὰ Λουκᾶν (κεφ. α' 39-45, 56).

Ἐν ταῖς ἡμέραις ἐκείναις, ἀναστᾶσα Μαριὰμ ἐπορεύθη εἰς τὴν ὀρεινὴν μετὰ σπουδῆς εἰς πόλιν Ἰούδα καὶ εἰσῆλθεν εἰς τὸν οἶκον Ζαχαρίου καὶ ἠσπάσατο τὴν Ἐλισάβετ. Καὶ ἐγένετο, ὡς ἤκουσεν ἡ Ἐλισάβετ τὸν ἀσπασμὸν τῆς Μαρίας, ἐσκίρτησε τὸ βρέφος ἐν τῇ κοιλίᾳ αὐτῆς· καὶ ἐπλήσθη Πνεύματος ἁγίου ἡ Ἐλισάβετ καὶ ἀνεφώνησε φωνῇ μεγάλῃ καὶ εἶπεν· Εὐλογημένη σὺ ἐν γυναιξὶ καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου. Καὶ πόθεν μοι τοῦτο, ἵνα ἔλθῃ ἡ μήτηρ τοῦ Κυρίου

μου πρός με; ἰδοὺ γάρ, ὡς ἐγένετο ἡ φωνὴ τοῦ ἀσπασμοῦ σου εἰς τὰ ὦτά μου, ἐσκίρτησε τὸ βρέφος ἐν ἀγαλλιάσει ἐν τῇ κοιλίᾳ μου. Καὶ μακαρία ἡ πιστεύσασα ὅτι ἔσται τελείωσις τοῖς λελαλημένοις αὐτῇ παρὰ Κυρίου. Καὶ εἶπε Μαριάμ· Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου, ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ. Ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί, ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ Δυνατὸς καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ. Ἔμεινε δὲ Μαριὰμ σὺν αὐτῇ ὡσεὶ μῆνας τρεῖς καὶ ὑπέστρεψεν εἰς τὸν οἶκον αὐτῆς.

Δόξα. Ἦχος β'.

Πάτερ Λόγε Πνεῦμα, Τριὰς ἡ ἐν Μονάδι, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν.

Ταῖς τῆς Θεοτόκου, πρεσβείαις ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Στίχ. Ἐλέησόν με ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἦχος πλ. β'. Ὅλην ἀποθέμενοι.

Μὴ καταπιστεύσῃς με, ἀνθρωπίνῃ προστασίᾳ, Παναγία Δέσποινα, ἀλλὰ δέξαι δέησιν τοῦ ἱκέτου σου· θλῖψις γὰρ ἔχει με, φέρειν οὐ δύναμαι, τῶν δαιμόνων τὰ τοξεύματα· σκέπην οὐ κέκτημαι, οὐδὲ ποῦ προσφύ-





γω ὁ ἄθλιος, πάντοθεν πολεμούμενος, καὶ παραμυθίαν οὐκ ἔχω πλὴν σοῦ· Δέσποινα τοῦ κόσμου, ἐλπὶς καὶ προστασία τῶν πιστῶν, μή μου παρίδῃς τὴν δέησιν, τὸ συμφέρον ποίησον.

Οὐδεὶς προστρέχων ἐπὶ σοί, κατῃσχυμμένος ἀπὸ σοῦ ἐκπορεύεται, ἁγνὴ Παρθένε Θεοτόκε· ἀλλ' αἰτεῖται τὴν χάριν, καὶ λαμβάνει τὸ δώρημα, πρὸς τὸ συμφέρον τῆς αἰτήσεως.

Μεταβολὴ τῶν θλιβομένων, ἀπαλλαγὴ τῶν ἀσθενούντων ὑπάρχουσα, Θεοτόκε Παρθένε, σῷζε πόλιν καὶ λαόν, τῶν πολεμουμένων ἡ εἰρήνη, τῶν χειμαζομένων ἡ γαλήνη, ἡ μόνη προστασία τῶν πιστῶν.

Ὁ ἱερεύς.

Σῶσον, ὁ Θεός, τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου· ἐπίσκεψαι τὸν κόσμον σου ἐν ἐλέει καὶ οἰκτιρμοῖς· ὕψωσον κέρας Χριστιανῶν ὀρθοδόξων καὶ κατάπεμψον ἐφ' ἡμᾶς τὰ ἐλέη σου τὰ πλούσια· πρεσβείαις τῆς παναχράντου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας· δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ· προστασίαις τῶν τιμίων ἐπουρανίων δυνάμεων ἀσωμάτων· ἱκεσίαις τοῦ τιμίου καὶ ἐνδόξου προφήτου, προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων· τῶν ἐν ἁγίοις πατέρων ἡμῶν, μεγάλων ἱεραρχῶν καὶ οἰκουμενικῶν διδασκάλων Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου

τοῦ Θεολόγου καὶ Ἰωάννου τοῦ Χρυσοστόμου· τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Νικολάου, ἀρχιεπισκόπου Μύρων τῆς Λυκίας, τοῦ θαυματουργοῦ· τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων μαρτύρων· τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν· τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης· τοῦ ἁγίου (τῆς ἡμέρας) καὶ πάντων σου τῶν ἁγίων. Ἱκετεύομέν σε, μόνε πολυέλεε Κύριε· ἐπάκουσον ἡμῶν τῶν ἁμαρτωλῶν δεομένων σου καὶ ἐλέησον ἡμᾶς.

Κύριε, ἐλέησον ιβʹ. Μετὰ δὲ τὸ Ἐλέει καὶ οἰκτιρμοῖς ἀποπληροῦμεν τὰς λοιπὰς ᾠδὰς τοῦ κανόνος.

Ὠδὴ ζʹ. Ὁ εἱρμός.

Οἱ ἐκ τῆς Ἰουδαίας, καταντήσαντες παῖδες ἐν Βαβυλῶνί ποτε, τῇ πίστει τῇ Τριάδος, τὴν φλόγα τῆς καμίνου, κατεπάτησαν ψάλλοντες· Ὁ τῶν πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Τροπάρια.

Τὴν ἡμῶν σωτηρίαν, ὡς ἠθέλησας Σῶτερ οἰκονομήσασθαι, ἐν μήτρᾳ τῆς Παρθένου, κατῴκησας τῷ κόσμῳ, ἣν προστάτιν ἀνέδειξας. Ὁ τῶν πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Θελητὴν τοῦ ἐλέους, ὃν ἐγέννησας Μῆτερ ἁγνὴ δυσώπησον, ῥυσθῆναι τῶν πταισμάτων, ψυχῆς τε μολυσμάτων, τοὺς ἐν πίστει κραυγάζοντας· Ὁ τῶν πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.





Θησαυρὸν σωτηρίας, καὶ πηγὴν ἀφθαρσίας, τὴν σὲ κυήσασαν, καὶ πύργον ἀσφαλείας, καὶ θύραν μετανοίας, τοῖς κραυγάζουσιν ἔδειξας· Ὁ τῶν πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Σωμάτων μαλακίας, καὶ ψυχῶν ἀρρωστίας, Θεογεννήτρια, τῶν πόθῳ προσιόντων, τῇ σκέπῃ σου τῇ θείᾳ, θεραπεύειν ἀξίωσον, ἡ τὸν Σωτῆρα Χριστόν, ἡμῖν ἀποτεκοῦσα.

Ὠδὴ ηʹ. Ὁ εἱρμός.

Τὸν βασιλέα, τῶν οὐρανῶν ὃν ὑμνοῦσι, στρατιαὶ τῶν ἀγγέλων ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Τροπάρια.

Τοὺς βοηθείας, τῆς παρὰ σοῦ δεομένους, μὴ παρίδῃς Παρθένε ὑμνοῦντας, καὶ ὑπερυψοῦντας, σὲ Κόρη εἰς αἰῶνας.

Τῶν ἰαμάτων, τὸ δαψιλὲς ἐπιχέεις, τοῖς πιστῶς ὑμνοῦσί σε Παρθένε, καὶ ὑπερυψοῦσι, τὸν ἄφραστόν σου τόκον.

Τὰς ἀσθενείας μου, τῆς ψυχῆς ἰατρεύεις, καὶ σαρκὸς τὰς ὀδύνας Παρθένε, ἵνα σε δοξάζω, τὴν κεχαριτωμένην.

Τῶν πειρασμῶν σύ, τὰς προσβολὰς ἐκδιώκεις, καὶ παθῶν τὰς ἐφόδους Παρθένε· ὅθεν σε ὑμνοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

## ᾨδὴ θʹ. Ὁ εἱρμός.

Κυρίως Θεοτόκον, σὲ ὁμολογοῦμεν, οἱ διὰ σοῦ σεσωσμένοι Παρθένε ἁγνή, σὺν ἀσωμάτοις χορείαις σὲ μεγαλύνοντες.

## Τροπάρια.

Ῥοήν μου τῶν δακρύων, μὴ ἀποποιήσῃς, ἡ τὸν παντὸς ἐκ προσώπου πᾶν δάκρυον, ἀφῃρηκότα Παρθένε, Χριστὸν κυήσασα.

Χαρᾶς μου τὴν καρδίαν, πλήρωσον Παρθένε, ἡ τῆς χαρᾶς δεξαμένη τὸ πλήρωμα, τῆς ἁμαρτίας τὴν λύπην ἐξαφανίσασα.

Λιμὴν καὶ προστασία, τῶν σοὶ προσφευγόντων, γενοῦ Παρθένε καὶ τεῖχος ἀκράδαντον, καταφυγή τε καὶ σκέπη καὶ ἀγαλλίαμα.

Φωτός σου ταῖς ἀκτῖσι, λάμπρυνον Παρθένε, τὸ ζοφερὸν τῆς ἀγνοίας διώκουσα, τοὺς εὐσεβῶς Θεοτόκον σε καταγγέλλοντας.

Κακώσεως ἐν τόπῳ, τῷ τῆς ἀσθενείας, ταπεινωθέντα Παρθένε θεράπευσον, ἐξ ἀρρωστίας εἰς ῥῶσιν μετασκευάζουσα.

Καὶ εὐθὺς τὸ Ἄξιόν ἐστι καὶ τὰ μεγαλυνάρια, ὧν ψαλλομένων ὁ ἱερεὺς θυμιᾷ.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον, καὶ Μητέρα





τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβίμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφίμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον σὲ μεγαλύνομεν.

Τὴν ὑψηλοτέραν τῶν οὐρανῶν, καὶ καθαρωτέραν, λαμπηδόνων ἡλιακῶν, τὴν λυτρωσαμένην, ἡμᾶς ἐκ τῆς κατάρας, τὴν Δέσποιναν τοῦ κόσμου, ὕμνοις τιμήσωμεν.

Ἀπὸ τῶν πολλῶν μου ἁμαρτιῶν, ἀσθενεῖ τὸ σῶμα, ἀσθενεῖ μου καὶ ἡ ψυχή· πρὸς σὲ καταφεύγω, τὴν κεχαριτωμένην· ἐλπὶς ἀπηλπισμένων, σύ μοι βοήθησον.

Δέσποινα καὶ Μήτηρ τοῦ Λυτρωτοῦ, δέξαι παρακλήσεις, ἀναξίων σῶν ἱκετῶν, ἵνα μεσιτεύσῃς, πρὸς τὸν ἐκ σοῦ τεχθέντα· ὦ Δέσποινα τοῦ κόσμου, γενοῦ μεσίτρια.

Ψάλλομεν προθύμως σοι τὴν ᾠδήν, νῦν τῇ πανυμνήτῳ, Θεοτόκῳ χαρμονικῶς· μετὰ τοῦ Προδρόμου, καὶ πάντων τῶν ἁγίων, δυσώπει Θεοτόκε, τοῦ οἰκτειρῆσαι ἡμᾶς.

Ἄλαλα τὰ χείλη τῶν ἀσεβῶν, τῶν μὴ προσκυνούντων, τὴν εἰκόνα σου τὴν σεπτήν, τὴν ἱστορηθεῖσαν, ὑπὸ τοῦ ἀποστόλου, Λουκᾶ ἱερωτάτου, τὴν Ὁδηγήτριαν.

Πᾶσαι τῶν ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, ἀποστόλων ἡ δωδεκάς, οἱ ἅγιοι πάντες, μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν, εἰς τὸ σωθῆναι ἡμᾶς.

Εἶτα τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν (σελ. 13-14) καὶ τὰ τροπάρια ταῦτα.

Ἦχος πλ. β'.

Ἐλέησον ἡμᾶς Κύριε, ἐλέησον ἡμᾶς· πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ οἱ ἁμαρτωλοὶ προσφέρομεν· ἐλέησον ἡμᾶς.

Δόξα.

Κύριε, ἐλέησον ἡμᾶς, ἐπὶ σοὶ γὰρ πεποίθαμεν. Μὴ ὀργισθῇς ἡμῖν σφόδρα, μηδὲ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν, ἀλλ' ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαγχνος, καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν· σὺ γὰρ εἶ Θεὸς ἡμῶν, καὶ ἡμεῖς λαός σου· πάντες ἔργα χειρῶν σου, καὶ τὸ ὄνομά σου ἐπικεκλήμεθα.

Καὶ νῦν. Θεοτοκίον.

Τῆς εὐσπλαγχνίας τὴν πύλην, ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε· ἐλπίζοντες εἰς σὲ μὴ ἀστοχήσωμεν· ῥυσθείημεν διὰ σοῦ τῶν περιστάσεων· σὺ γὰρ εἶ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

Ὁ ἱερεύς: Ἐλέησον ἡμᾶς ὁ Θεός...

Καὶ μνημονεύσας πάλιν, ὑπὲρ ὧν ἡ Παράκλησις γίνεται, ποιεῖ τὴν ἀπόλυσιν. Μετ' αὐτὴν δέ, ἐνόσῳ οἱ ἀδελφοὶ ἀσπάζονται τὴν εἰκόνα τῆς Θεοτόκου, ψάλλονται τὰ παρόντα τροπάρια.





Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου.

Πάντων προστατεύεις ἀγαθή, τῶν καταφευγόντων ἐν πίστει, τῇ κραταιᾷ σου χειρί· ἄλλην γὰρ οὐκ ἔχομεν, ἁμαρτωλοὶ πρὸς Θεόν, ἐν κινδύνοις καὶ θλίψεσιν, ἀεὶ μεσιτείαν, οἱ καταχαμπτόμενοι, ὑπὸ πταισμάτων πολλῶν, Μῆτερ τοῦ Θεοῦ τοῦ ὑψίστου, ὅθεν σοι προσπίπτομεν· ῥῦσαι, πάσης περιστάσεως τοὺς δούλους σου.

Ὅμοιον.

Πάντων θλιβομένων ἡ χαρά, καὶ ἀδικουμένων προστάτις, καὶ πενομένων τροφή, ξένων τε παράκλησις, καὶ βακτηρία τυφλῶν, ἀσθενούντων ἐπίσκεψις, καταπονουμένων, σκέπη καὶ ἀντίληψις, καὶ ὀρφανῶν βοηθός, Μῆτερ τοῦ Θεοῦ τοῦ ὑψίστου, σὺ ὑπάρχεις ἄχραντε σπεῦσον, δυσωποῦμεν ῥύσασθαι τοὺς δούλους σου.

Ἦχος πλ. δ'.

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Ἦχος β'.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Δι' εὐχῶν.

# ΑΚΟΛΟΥΘΙΑ
# ΤΟΥ ΜΕΓΑΛΟΥ ΠΑΡΑΚΛΗΤΙΚΟΥ ΚΑΝΟΝΟΣ ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ

Μετὰ τὸν Εὐλογητὸν καὶ τὰ λοιπά, ὅσα προεγράφησαν ἐν σελ. 209-210, ἀρχόμεθα τοῦ κανόνος.

Ποίημα τοῦ βασιλέως
Θεοδώρου Δούκα τοῦ Λασκάρεως.

Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὁ εἱρμός.

Ἁρματηλάτην Φαραὼ ἐβύθισε, τερατουργοῦσά ποτε, μωσαϊκὴ ῥάβδος, σταυροτύπως πλήξασα, καὶ διελοῦσα θάλασσαν, Ἰσραὴλ δὲ φυγάδα, πεζὸν ὁδίτην διέσωσεν, ᾆσμα τῷ Θεῷ ἀναμέλποντα.

Τροπάρια.

Πῶν λυπηρῶν ἐπαγωγαὶ χειμάζουσι, τὴν ταπεινήν μου ψυχήν, καὶ συμφορῶν νέφη, τὴν ἐμὴν καλύπτουσι, καρδίαν Θεονύμφευτε· ἀλλ' ἡ φῶς τετοκυῖα, τὸ θεῖον καὶ προαιώνιον, λάμψον μοι τὸ φῶς τὸ χαρμόσυνον.

Ἐξ ἀμετρήτων ἀναγκῶν καὶ θλίψεων, καὶ ἐξ ἐχθρῶν δυσμενῶν, καὶ συμφορῶν βίου, λυτρωθεὶς πανάχραντε, τῇ κραταιᾷ δυνάμει σου, ἀνυμνῶ μεγαλύνω, τὴν ἄμετρόν σου συμπάθειαν, καὶ τὴν εἰς ἐμέ σου παράκλησιν.





Νῦν πεποιθὼς ἐπὶ τὴν σὴν κατέφυγον, ἀντίληψιν κραταιάν, καὶ πρὸς τὴν σὴν σκέπην, ὁλοψύχως ἔδραμον, καὶ γόνυ κλίνω Δέσποινα, καὶ θρηνῶ καὶ στενάζω, μή με παρίδῃς τὸν ἄθλιον, τῶν Χριστιανῶν καταφύγιον.

Οὐ σιωπήσω τοῦ βοᾶν τρανώτατα, τὰ μεγαλεῖα τὰ σά· εἰ μὴ γὰρ σὺ Κόρη, πάντοτε προΐστασο, ὑπὲρ ἐμοῦ πρεσβεύουσα, τῷ Υἱῷ καὶ Θεῷ σου, τίς ἐκ τοσούτου με κλύδωνος, καὶ δεινῶν κινδύνων ἐρρύσατο;*

Ὠδὴ γ΄. Ὁ εἱρμός.

Οὐρανίας ἁψῖδος, ὀροφουργὲ Κύριε, καὶ τῆς Ἐκκλησίας δομῆτορ, σύ με στερέωσον, ἐν τῇ ἀγάπῃ τῇ σῇ, τῶν ἐφετῶν ἡ ἀκρότης, τῶν πιστῶν τὸ στήριγμα, μόνε φιλάνθρωπε.

Τροπάρια.

Ἀπορήσας ἐκ πάντων, ὀδυνηρῶς κράζω σοι· πρόφθασον θερμὴ προστασία, καὶ σὴν βοήθειαν, δός μοι τῷ δούλῳ σου, τῷ ταπεινῷ καὶ ἀθλίῳ, τῷ τὴν σὴν ἀντίληψιν, ἐπιζητοῦντι θερμῶς.

---

* Οἱ βουλόμενοι δύνανται εἰς τὸ τέλος ὅλων τῶν ᾠδῶν νὰ ψάλλωσι τὰ τροπάρια Διάσωσον... καὶ Ἐπίβλεψον... (σελ. 226).

Ἐθαυμάστωσας ὄντως, νῦν ἐπ' ἐμοὶ Δέσποινα, τὰς εὐεργεσίας σου Κόρη, καὶ τὰ ἐλέη σου· ὅθεν δοξάζω σε, καὶ ἀνυμνῶ καὶ γεραίρω, τὴν πολλὴν καὶ ἄμετρον, κηδεμονίαν σου.

Καταιγίς με χειμάζει, τῶν συμφορῶν Δέσποινα, καὶ τῶν λυπηρῶν τρικυμίαι, καταποντίζουσιν· ἀλλὰ προφθάσασα, χεῖρά μοι δὸς βοηθείας, ἡ θερμὴ ἀντίληψις, καὶ προστασία μου.

Ἀληθῆ Θεοτόκον, ὁμολογῶ Δέσποινα, σὲ τὴν τοῦ θανάτου τὸ κράτος, ἐξαφανίσασαν· ὡς γὰρ φυσίζωος, ἐκ τῶν δεσμῶν τῶν τοῦ ᾅδου, πρὸς ζωὴν ἀνήγαγες, εἰς γῆν με ῥεύσαντα.

Διάσωσον ἀπὸ κινδύνων τοὺς δούλους σου Θεοτόκε, ὅτι πάντες μετὰ Θεὸν εἰς σὲ καταφεύγομεν, ὡς ἄρρηκτον τεῖχος καὶ προστασίαν.

Ἐπίβλεψον ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Κάθισμα. Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Πρεσβεία θερμή, καὶ τεῖχος ἀπροσμάχητον, ἐλέους πηγή, τοῦ κόσμου καταφύγιον, ἐκτενῶς βοῶμέν σοι· Θεοτόκε Δέσποινα πρόφθασον, καὶ ἐκ κινδύνων λύτρωσαι ἡμᾶς, ἡ μόνη ταχέως προστατεύουσα.





Ὠδὴ δ'. Ὁ εἱρμός.

Σύ μου ἰσχὺς Κύριε, σύ μου καὶ δύναμις, σὺ Θεός μου, σύ μου ἀγαλλίαμα, ὁ πατρικούς, κόλπους μὴ λιπών, καὶ τὴν ἡμετέραν, πτωχείαν ἐπισκεψάμενος· διὸ σὺν τῷ προφήτῃ, Ἀββακοὺμ σοὶ κραυγάζω· τῇ δυνάμει σου δόξα φιλάνθρωπε.

Τροπάρια.

Καὶ ποῦ λοιπόν, ἄλλην εὑρήσω ἀντίληψιν; ποῦ προσφύγω; ποῦ δὲ καὶ σωθήσομαι; τίνα θερμὴν ἕξω βοηθόν, θλίψεσι τοῦ βίου καὶ ζάλαις οἴμοι! κλονούμενος; εἰς σὲ μόνην ἐλπίζω, καὶ θαρρῶ καὶ καυχῶμαι, καὶ προστρέχω τῇ σκέπῃ σου· σῶσόν με.

Τὸν ποταμόν, τὸν γλυκερὸν τοῦ ἐλέους σου, τὸν πλουσίαις δωρεαῖς δροσίσαντα, τὴν παναθλίαν καὶ ταπεινήν, πάναγνε ψυχήν μου, τῶν συμφορῶν καὶ τῶν θλίψεων, καμίνῳ φλογισθεῖσαν, μεγαλύνω κηρύττω, καὶ προστρέχω τῇ σκέπῃ σου· σῶσόν με.

Σὲ τὴν ἁγνήν, σὲ τὴν Παρθένον καὶ ἄσπιλον, μόνην φέρω, τεῖχος ἀπροσμάχητον, καταφυγὴν σκέπην κραταιάν, ὅπλον σωτηρίας· μή με παρίδῃς τὸν ἄσωτον, ἐλπὶς ἀπηλπισμένων, ἀσθενῶν συμμαχία, θλιβομένων χαρὰ καὶ ἀντίληψις.

Πῶς ἐξειπεῖν, σοῦ κατ' ἀξίαν δυνήσομαι, τοὺς ἀμέτρους, οἰκτιρμοὺς ὦ Δέσποινα, τοὺς τὴν ἐμὴν πάντοτε ψυχήν, δεινῶς πυρουμένην, ὡς ὕδωρ περιδροσί-

σαντας; ἀλλ' ὢ τῆς σῆς προνοίας, καὶ τῆς εὐεργεσίας, ἧς ἀφθόνως αὐτὸς παραπήλαυσα!

### Ὠδὴ ε'. Ὁ εἱρμός.

Ἵνα τί με ἀπώσω, ἀπὸ τοῦ προσώπου σου τὸ φῶς τὸ ἄδυτον, καὶ ἐκάλυψέ με, τὸ ἀλλότριον σκότος τὸν δείλαιον; ἀλλ' ἐπίστρεψόν με, καὶ πρὸς τὸ φῶς τῶν ἐντολῶν σου, τὰς ὁδούς μου κατεύθυνον δέομαι.

### Τροπάρια.

Εὐχαρίστως βοῶ σοι· χαῖρε Μητροπάρθενε, χαῖρε Θεόνυμφε· χαῖρε θεία σκέπη, χαῖρε ὅπλον καὶ τεῖχος ἀπόρθητον· χαῖρε προστασία, καὶ βοηθὲ καὶ σωτηρία, τῶν εἰς σὲ προστρεχόντων ἐκ πίστεως.

Οἱ μισοῦντές με μάτην, βέλεμνα καὶ ξίφη καὶ λάκκον ηὐτρέπισαν, καὶ ἐπιζητοῦσι, τὸ πανάθλιον σῶμα σπαράξαι μου, καὶ καταβιβάσαι, πρὸς γῆν ἁγνὴ ἐπιζητοῦσιν· ἀλλ' ἐκ τούτων προφθάσασα σῶσόν με.

Ἀπὸ πάσης ἀνάγκης, θλίψεως καὶ νόσου καὶ βλάβης με λύτρωσαι, καὶ τῇ σῇ δυνάμει, ἐν τῇ σκέπῃ σου φύλαξον ἄτρωτον, ἐκ παντὸς κινδύνου, καὶ ἐξ ἐχθρῶν τῶν πολεμούντων, καὶ μισούντων με Κόρη πανύμνητε.

Τί σοι δῶρον προσάξω, τῆς εὐχαριστίας ἀνθ' ὧνπερ ἀπήλαυσα, τῶν σῶν δωρημάτων, καὶ τῆς σῆς ἀμετρήτου χρηστότητος; τοιγαροῦν δοξάζω, ὑμνολογῶ καὶ μεγαλύνω, σοῦ τὴν ἄμετρον πρός με συμπάθειαν.





### Ὠδὴ ς'. Ὁ εἱρμός.

Τὴν δέησιν, ἐκχεῶ πρὸς Κύριον, καὶ αὐτῷ ἀπαγγελῶ μου τὰς θλίψεις, ὅτι κακῶν ἡ ψυχή μου ἐπλήσθη, καὶ ἡ ζωή μου τῷ ᾅδῃ προσήγγισε· καὶ δέομαι ὡς Ἰωνᾶς· Ἐκ φθορᾶς ὁ Θεός με ἀνάγαγε.

### Τροπάρια.

Τὰ νέφη, τῶν λυπηρῶν ἐκάλυψαν, τὴν ἀθλίαν μου ψυχὴν καὶ καρδίαν, καὶ σκοτασμὸν ἐμποιοῦσί μοι Κόρη· ἀλλ' ἡ γεννήσασα φῶς τὸ ἀπρόσιτον, ἀπέλασον ταῦτα μακράν, τῇ ἐμπνεύσει τῆς θείας πρεσβείας σου.

Παράκλησιν, ἐν ταῖς θλίψεσιν οἶδα, καὶ τῶν νόσων ἰατρὸν σὲ γινώσκω, καὶ παντελῆ συντριμμὸν τοῦ θανάτου, καὶ ποταμὸν τῆς ζωῆς ἀνεξάντλητον, καὶ πάντων τῶν ἐν συμφοραῖς, ταχινὴν καὶ ὀξεῖαν ἀντίληψιν.

Οὐ κρύπτω σου, τὸν βυθὸν τοῦ ἐλέους, καὶ τὴν βρύσιν τῶν ἀπείρων θαυμάτων, καὶ τὴν πηγὴν τὴν ἀέναον ὄντως, τῆς πρὸς ἐμὲ συμπαθείας σου Δέσποινα, ἀλλ' ἅπασιν ὁμολογῶ, καὶ βοῶ καὶ κηρύττω καὶ φθέγγομαι.

Ἐκύκλωσαν, αἱ τοῦ βίου με ζάλαι, ὥσπερ μέλισσαι κηρίον Παρθένε, καὶ τὴν ἐμὴν κατασχοῦσαι καρδίαν, κατατιτρώσκουσι βέλει τῶν θλίψεων· ἀλλ' εὕροιμί σε βοηθόν, καὶ διώκτην καὶ ῥύστην πανάχραντε.

Διάσωσον ἀπὸ κινδύνων τοὺς δούλους σου Θεοτόκε, ὅτι πάντες μετὰ Θεὸν εἰς σὲ καταφεύγομεν, ὡς ἄρρηκτον τεῖχος καὶ προστασίαν.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παρρησίαν.

### Κοντάκιον. Ἦχος β΄.

Προστασία τῶν Χριστιανῶν ἀκαταίσχυντε, μεσιτεία πρὸς τὸν Ποιητὴν ἀμετάθετε, μὴ παρίδης ἁμαρτωλῶν δεήσεων φωνάς, ἀλλὰ πρόφθασον ὡς ἀγαθή, εἰς τὴν βοήθειαν ἡμῶν, τῶν πιστῶς κραυγαζόντων σοι· τάχυνον εἰς πρεσβείαν, καὶ σπεῦσον εἰς ἱκεσίαν, ἡ προστατεύουσα ἀεί, Θεοτόκε τῶν τιμώντων σε.

### Εὐαγγέλιον.

Ἐκ τοῦ κατὰ Λουκᾶν (κεφ. ι΄ 38-42 καὶ ια΄ 27-28).

Τῷ καιρῷ ἐκείνῳ, εἰσῆλθεν ὁ Ἰησοῦς εἰς κώμην τινά· γυνὴ δέ τις ὀνόματι Μάρθα ὑπεδέξατο αὐτὸν εἰς τὸν οἶκον αὐτῆς. Καὶ τῇδε ἦν ἀδελφὴ καλουμένη Μαρία, ἣ καὶ παρακαθήσασα παρὰ τοὺς πόδας τοῦ Ἰησοῦ ἤκουε τῶν λόγων αὐτοῦ· ἡ δὲ Μάρθα περιεσπᾶτο περὶ πολλὴν διακονίαν· ἐπιστᾶσα δὲ εἶπε· Κύριε, οὐ μέλει σοι ὅτι ἡ ἀδελφή μου μόνην με κατέλιπε διακονεῖν; εἰπὲ οὖν αὐτῇ ἵνα μοι συναντιλάβηται. Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν αὐτῇ· Μάρθα, Μάρθα, μεριμνᾷς καὶ τυρβάζῃ περὶ πολλά, ἑνὸς δέ ἐστι χρεία· Μαρία δὲ τὴν ἀγαθὴν μερίδα ἐξελέξατο, ἥτις οὐκ ἀφαιρεθήσεται ἀπ' αὐτῆς. Ἐγένετο δὲ ἐν τῷ λέγειν αὐτὸν ταῦτα, ἐπάρασά τις γυνὴ φωνὴν ἐκ τοῦ ὄχλου εἶπεν αὐτῷ· Μακαρία ἡ





κοιλία ἡ βαστάσασά σε καὶ μαστοί, οὓς ἐθήλασας. Αὐτὸς δὲ εἶπε· Μενοῦνγε, μακάριοι οἱ ἀκούοντες τὸν λόγον τοῦ Θεοῦ καὶ φυλάσσοντες αὐτόν.

Μετὰ ταῦτα ὅσα προεγράφησαν ἐν σελ. 216-218. Εἶτα τὰς λοιπὰς ᾠδὰς τοῦ κανόνος.

### Ὠδὴ ζ΄. Ὁ εἱρμός.

Παῖδες Ἑβραίων ἐν καμίνῳ, κατεπάτησαν τὴν φλόγα θαρσαλέως, καὶ εἰς δρόσον τὸ πῦρ μετέβαλον βοῶντες· Εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

### Τροπάρια.

Φῶς ἡ τεκοῦσα Θεοτόκε, σκοτισθέντα με νυκτὶ ἁμαρτημάτων, φωταγώγησον σύ, φωτὸς οὖσα δοχεῖον, τὸ καθαρὸν καὶ ἄμωμον, ἵνα πόθῳ σε δοξάζω.

Σκέπη γενοῦ καὶ προστασία, καὶ ἀντίληψις καὶ καύχημα Παρθένε, γυμνωθέντι μοι νῦν, ἁπάσης βοηθείας, ἀβοηθήτων δύναμις, καὶ ἐλπὶς ἀπηλπισμένων.

Ὅλη ψυχῇ καὶ διανοίᾳ, καὶ καρδίᾳ σε καὶ χείλεσι δοξάζω, ἀπολαύσας τῶν σῶν, μεγάλων χαρισμάτων· ἀλλ' ὢ τῆς σῆς χρηστότητος, καὶ ἀπείρων σου θαυμάτων!

Βλέψον ἱλέῳ ὄμματί σου, καὶ ἐπίσκεψαι τὴν κάκωσιν ἣν ἔχω, καὶ δεινῶν συμφορῶν, καὶ βλάβης καὶ κινδύνων, καὶ πειρασμῶν με λύτρωσαι, ἀμετρήτῳ σου ἐλέει.

Ὠδὴ η΄. Ὁ εἱρμός.

Τὸν ἐν ὄρει ἁγίῳ δοξασθέντα, καὶ ἐν βάτῳ πυρὶ τὸ τῆς ἀειπαρθένου, τῷ Μωυσῇ μυστήριον γνωρίσαντα, Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Τροπάρια.

Τὰ σπλάγχνα ἐλέους σου Παρθένε, μὴ παρίδῃς σεμνή, ποντούμενόν με σάλῳ, βιωτικῶν κυμάτων, ἀλλὰ δίδου μοι χεῖρα βοηθείας, καταπονουμένῳ, κακώσεσι τοῦ βίου.

Περιστάσεις καὶ θλίψεις καὶ ἀνάγκαι, εὕροσάν με ἁγνή, καὶ συμφοραὶ τοῦ βίου, καὶ πειρασμοί με πάντοθεν ἐκύκλωσαν· ἀλλὰ πρόστηθί μοι, καὶ ἀντιλαβοῦ μου, τῇ κραταιᾷ σου σκέπῃ.

Ἐν ταῖς ζάλαις ἐφεῦρόν σε λιμένα, ἐν ταῖς λύπαις χαρὰν καὶ εὐφροσύνην, καὶ ἐν ταῖς νόσοις ταχινὴν βοήθειαν, καὶ ἐν τοῖς κινδύνοις, ῥῦστιν καὶ προστάτιν, ἐν τοῖς πειρατηρίοις.

Χαῖρε θρόνε πυρίμορφε Κυρίου, χαῖρε θεία καὶ μανναδόχε στάμνε, χαῖρε χρυσῆ λυχνία, λαμπὰς ἄσβεστε, χαῖρε τῶν παρθένων, δόξα καὶ μητέρων, ὡράϊσμα καὶ κλέος.

Ὠδὴ θ΄. Ὁ εἱρμός.

Ἐξέστη ἐπὶ τούτῳ ὁ οὐρανός, καὶ τῆς γῆς κατεπλάγη τὰ πέρατα, ὅτι Θεός, ὤφθη τοῖς ἀνθρώποις σωματικῶς, καὶ ἡ γαστήρ σου γέγονεν, εὐρυχωροτέρα τῶν οὐρανῶν· διό σε Θεοτόκε, ἀγγέλων καὶ ἀνθρώπων, ταξιαρχίαι μεγαλύνουσι.





Τροπάρια.

Πρὸς τίνα καταφύγω ἄλλην ἁγνή; ποῦ προσδράμω λοιπὸν καὶ σωθήσομαι; ποῦ πορευθῶ; ποίαν δὲ ἐφεύρω καταφυγήν; ποίαν θερμὴν ἀντίληψιν; ποίαν ἐν ταῖς θλίψεσι βοηθόν; εἰς σὲ μόνην ἐλπίζω, εἰς σὲ μόνην καυχῶμαι, καὶ ἐπὶ σὲ θαρρῶν κατέφυγον.

Οὐκ ἔστιν ἀριθμήσασθαι δυνατόν, μεγαλεῖα τὰ σὰ Θεονύμφευτε, καὶ τὸν βυθόν, τὸν ἀνεξερεύνητον ἐξειπεῖν, τῶν ὑπὲρ νοῦν θαυμάτων σου, τῶν τετελεσμένων διηνεκῶς, τοῖς πόθῳ σε τιμῶσι, καὶ πίστει προσκυνοῦσιν, ὡς ἀληθῆ Θεοῦ λοχεύτριαν.

Ἐν ὕμνοις εὐχαρίστοις δοξολογῶ, καὶ γεραίρω τὸ ἄμετρον ἔλεος, καὶ τὴν πολλήν, δύναμίν σου πᾶσιν ὁμολογῶ· καὶ τὰς εὐεργεσίας σου, ἃς ὑπερεκένωσας εἰς ἐμέ, κηρύττω, μεγαλύνω, ψυχῇ τε καὶ καρδίᾳ, καὶ λογισμῷ καὶ γλώσσῃ πάντοτε.

Τὴν δέησίν μου δέξαι τὴν πενιχράν, καὶ κλαυθμὸν μὴ παρίδῃς καὶ δάκρυα, καὶ στεναγμόν, ἀλλ' ἀντιλαβοῦ μου ὡς ἀγαθή, καὶ τὰς αἰτήσεις πλήρωσον· δύνασαι γὰρ πάντα ὡς πανσθενοῦς, Δεσπότου Θεοῦ Μήτηρ, εἰ νεύσεις ἔτι μόνον, πρὸς τὴν ἐμὴν οἰκτρὰν ταπείνωσιν.

Καὶ εὐθὺς τὸ Ἄξιόν ἐστι καὶ τὰ ἑξῆς, ὅσα προεγράφησαν ἐν σελ. 220-222. Μετὰ δὲ τὸ τρισάγιον κλπ. καὶ τὴν ἀπόλυσιν ψάλλομεν ἀργότερον καὶ γεγωνοτέρᾳ τῇ φωνῇ τὰ παρόντα ἐξαποστειλάρια.

Ἦχος γ΄.

Ἀπόστολοι ἐκ περάτων, συναθροισθέντες ἐνθάδε, Γεθσημανῇ τῷ χωρίῳ, κηδεύσατέ μου τὸ σῶμα· καὶ σύ, Υἱὲ καὶ Θεέ μου, παράλαβέ μου τὸ πνεῦμα.

Ὁ γλυκασμὸς τῶν ἀγγέλων, τῶν θλιβομένων ἡ χαρά, Χριστιανῶν ἡ προστάτις, Παρθένε Μήτηρ Κυρίου, ἀντιλαβοῦ μου καὶ ῥῦσαι, τῶν αἰωνίων βασάνων.

Καὶ σὲ μεσίτριαν ἔχω, πρὸς τὸν φιλάνθρωπον Θεόν, μή μου ἐλέγξῃ τὰς πράξεις, ἐνώπιον τῶν ἀγγέλων· παρακαλῶ σε Παρθένε, βοήθησόν μοι ἐν τάχει.

Χρυσοπλοκώτατε πύργε, καὶ δωδεκάτειχε πόλις, ἡλιοστάλακτε θρόνε, καθέδρα τοῦ Βασιλέως, ἀκατανόητον θαῦμα, πῶς γαλουχεῖς τὸν Δεσπότην.

Δι᾽ εὐχῶν.



# ΟΙ ΧΑΙΡΕΤΙΣΜΟΙ ΤΗΣ ΘΕΟΤΟΚΟΥ

Ἀπολυτίκιον. Ἦχος πλ. δ΄.

Τὸ προσταχθὲν μυστικῶς λαβὼν ἐν γνώσει, ἐν τῇ σκηνῇ τοῦ Ἰωσὴφ σπουδῇ ἐπέστη, ὁ ἀσώματος λέγων τῇ ἀπειρογάμῳ· Ὁ κλίνας τῇ καταβάσει τοὺς οὐρανούς, χωρεῖται ἀναλλοιώτως ὅλος ἐν σοί· ὃν καὶ βλέπων ἐν μήτρᾳ σου, λαβόντα δούλου μορφήν, ἐξίσταμαι κραυγάζων σοι· χαῖρε, Νύμφη ἀνύμφευτε.

Ἄγγελος πρωτοστάτης, οὐρανόθεν ἐπέμφθη, εἰπεῖν τῇ Θεοτόκῳ τὸ χαῖρε· (τρίς) καὶ σὺν τῇ ἀσωμάτῳ φωνῇ, σωματούμενόν σε θεωρῶν Κύριε, ἐξίστατο καὶ ἵστατο, κραυγάζων πρὸς αὐτὴν τοιαῦτα·

Χαῖρε, δι᾽ ἧς ἡ χαρὰ ἐκλάμψει· χαῖρε, δι᾽ ἧς ἡ ἀρὰ ἐκλείψει.

Χαῖρε, τοῦ πεσόντος Ἀδὰμ ἡ ἀνάκλησις· χαῖρε, τῶν δακρύων τῆς Εὔας ἡ λύτρωσις.

Χαῖρε, ὕψος δυσανάβατον ἀνθρωπίνοις λογισμοῖς· χαῖρε, βάθος δυσθεώρητον καὶ ἀγγέλων ὀφθαλμοῖς.

Χαῖρε, ὅτι ὑπάρχεις Βασιλέως καθέδρα· χαῖρε, ὅτι βαστάζεις τὸν βαστάζοντα πάντα.

Χαῖρε, ἀστὴρ ἐμφαίνων τὸν ἥλιον· χαῖρε, γαστὴρ ἐνθέου σαρκώσεως.

Χαῖρε, δι' ἧς νεουργεῖται ἡ κτίσις· χαῖρε, δι' ἧς βρεφουργεῖται ὁ Κτίστης.

Χαῖρε, Νύμφη ἀνύμφευτε.

Βλέπουσα ἡ ἁγία, ἑαυτὴν ἐν ἁγνείᾳ, φησὶ τῷ Γαβριὴλ θαρσαλέως· Τὸ παράδοξόν σου τῆς φωνῆς, δυσπαράδεκτόν μου τῇ ψυχῇ φαίνεται· ἀσπόρου γὰρ συλλήψεως, τὴν κύησιν πῶς λέγεις κράζων·

Ἀλληλούϊα.

Γνῶσιν ἄγνωστον γνῶναι, ἡ Παρθένος ζητοῦσα, ἐβόησε πρὸς τὸν λειτουργοῦντα· Ἐκ λαγόνων ἁγνῶν, υἱὸν πῶς ἐστι τεχθῆναι δυνατόν; λέξον μοι· πρὸς ἣν ἐκεῖνος ἔφησεν ἐν φόβῳ, πλὴν κραυγάζων οὕτω·

Χαῖρε, βουλῆς ἀπορρήτου μύστις· χαῖρε, σιγῇ δεομένων πίστις.

Χαῖρε, τῶν θαυμάτων Χριστοῦ τὸ προοίμιον· χαῖρε, τῶν δογμάτων αὐτοῦ τὸ κεφάλαιον.

Χαῖρε, κλῖμαξ ἐπουράνιε δι' ἧς κατέβη ὁ Θεός· χαῖρε, γέφυρα μετάγουσα τοὺς ἐκ γῆς πρὸς οὐρανόν.

Χαῖρε, τὸ τῶν ἀγγέλων πολυθρύλητον θαῦμα· χαῖρε, τὸ τῶν δαιμόνων πολυθρήνητον τραῦμα.

Χαῖρε, τὸ φῶς ἀρρήτως γεννήσασα· χαῖρε, τὸ πῶς μηδένα διδάξασα.





Χαῖρε, σοφῶν ὑπερβαίνουσα γνῶσιν· χαῖρε, πιστῶν καταυγάζουσα φρένας.

Χαῖρε, Νύμφη ἀνύμφευτε.

Δύναμις τοῦ Ὑψίστου, ἐπεσκίασε τότε, πρὸς σύλληψιν τῇ ἀπειρογάμῳ· καὶ τὴν εὔκαρπον ταύτης νηδύν, ὡς ἀγρὸν ὑπέδειξεν ἡδὺν ἅπασι, τοῖς θέλουσι θερίζειν σωτηρίαν, ἐν τῷ ψάλλειν οὕτως·

Ἀλληλούϊα.

Ἔχουσα θεοδόχον, ἡ Παρθένος τὴν μήτραν, ἀνέδραμε πρὸς τὴν Ἐλισάβετ, τὸ δὲ βρέφος ἐκείνης εὐθύς, ἐπιγνὸν τὸν ταύτης ἀσπασμόν, ἔχαιρε· καὶ ἅλμασιν ὡς ᾄσμασιν, ἐβόα πρὸς τὴν Θεοτόκον·

Χαῖρε, βλαστοῦ ἀμαράντου κλῆμα· χαῖρε, καρποῦ ἀκηράτου κτῆμα.

Χαῖρε, γεωργὸν γεωργοῦσα φιλάνθρωπον· χαῖρε, φυτουργὸν τῆς ζωῆς ἡμῶν φύουσα.

Χαῖρε, ἄρουρα βλαστάνουσα εὐφορίαν οἰκτιρμῶν· χαῖρε, τράπεζα βαστάζουσα εὐθηνίαν ἱλασμῶν.

Χαῖρε, ὅτι λειμῶνα τῆς τρυφῆς ἀναθάλλεις· χαῖρε, ὅτι λιμένα τῶν ψυχῶν ἑτοιμάζεις.

Χαῖρε, δεκτὸν πρεσβείας θυμίαμα· χαῖρε, παντὸς τοῦ κόσμου ἐξίλασμα.

Χαῖρε, Θεοῦ πρὸς θνητοὺς εὐδοκία· χαῖρε, θνητῶν πρὸς Θεὸν παρρησία.

Χαῖρε, Νύμφη ἀνύμφευτε.

Ζάλην ἔνδοθεν ἔχων, λογισμῶν ἀμφιβόλων, ὁ σώφρων Ἰωσὴφ ἐταράχθη, πρὸς τὴν ἄγαμόν σε θεωρῶν, καὶ κλεψίγαμον ὑπονοῶν ἄμεμπτε· μαθὼν δέ σου τὴν σύλληψιν ἐκ Πνεύματος ἁγίου ἔφη·

Ἀλληλούϊα.

Ἤκουσαν οἱ ποιμένες, τῶν ἀγγέλων ὑμνούντων, τὴν ἔνσαρκον Χριστοῦ παρουσίαν· καὶ δραμόντες ὡς πρὸς ποιμένα, θεωροῦσι τοῦτον ὡς ἀμνὸν ἄμωμον, ἐν τῇ γαστρὶ Μαρίας βοσκηθέντα, ἣν ὑμνοῦντες εἶπον·

Χαῖρε, ἀμνοῦ καὶ ποιμένος μήτηρ· χαῖρε, αὐλὴ λογικῶν προβάτων.

Χαῖρε, ἀοράτων ἐχθρῶν ἀμυντήριον· χαῖρε, παραδείσου θυρῶν ἀνοικτήριον.

Χαῖρε, ὅτι τὰ οὐράνια συναγάλλεται τῇ γῇ· χαῖρε, ὅτι τὰ ἐπίγεια συγχορεύει οὐρανοῖς.

Χαῖρε, τῶν ἀποστόλων τὸ ἀσίγητον στόμα· χαῖρε, τῶν ἀθλοφόρων τὸ ἀνίκητον θάρσος.

Χαῖρε, στερρὸν τῆς πίστεως ἔρεισμα· χαῖρε, λαμπρὸν τῆς χάριτος γνώρισμα.

Χαῖρε, δι' ἧς ἐγυμνώθη ὁ ᾅδης· χαῖρε, δι' ἧς ἐνεδύθημεν δόξαν.

Χαῖρε, Νύμφη ἀνύμφευτε.

Θεοδρόμον ἀστέρα, θεωρήσαντες μάγοι, τῇ τούτου ἠκολούθησαν αἴγλῃ· καὶ ὡς λύχνον κρατοῦντες αὐ-





τόν, δι' αὐτοῦ ἠρεύνων κραταιὸν ἄνακτα· καὶ φθάσαντες τὸν ἄφθαστον, ἐχάρησαν αὐτῷ βοῶντες·

Ἀλληλούϊα.

Ἴδον παῖδες Χαλδαίων, ἐν χερσὶ τῆς Παρθένου, τὸν πλάσαντα χειρὶ τοὺς ἀνθρώπους· καὶ δεσπότην νοοῦντες αὐτόν, εἰ καὶ δούλου ἔλαβε μορφήν, ἔσπευσαν τοῖς δώροις θεραπεῦσαι, καὶ βοῆσαι τῇ εὐλογημένῃ·

Χαῖρε, ἀστέρος ἀδύτου μήτηρ· χαῖρε, αὐγὴ μυστικῆς ἡμέρας.

Χαῖρε, τῆς ἀπάτης τὴν κάμινον σβέσασα· χαῖρε, τῆς Τριάδος τοὺς μύστας φωτίζουσα.

Χαῖρε, τύραννον ἀπάνθρωπον ἐκβαλοῦσα τῆς ἀρχῆς· χαῖρε, Κύριον φιλάνθρωπον ἐπιδείξασα Χριστόν.

Χαῖρε, ἡ τῆς βαρβάρου λυτρουμένη θρησκείας· χαῖρε, ἡ τοῦ βορβόρου ῥυομένη τῶν ἔργων.

Χαῖρε, πυρὸς προσκύνησιν παύσασα· χαῖρε, φλογὸς παθῶν ἀπαλλάττουσα.

Χαῖρε, πιστῶν ὁδηγὲ σωφροσύνης· χαῖρε, πασῶν γενεῶν εὐφροσύνη.

Χαῖρε, Νύμφη ἀνύμφευτε.

Κήρυκες θεοφόροι, γεγονότες οἱ μάγοι, ὑπέστρεψαν εἰς τὴν Βαβυλῶνα, ἐκτελέσαντές σου τὸν χρησμόν, καὶ κηρύξαντές σε τὸν Χριστὸν ἅπασιν, ἀφέντες τὸν Ἡρῴδην ὡς ληρώδη, μὴ εἰδότα ψάλλειν·

Ἀλληλούϊα.

Λάμψας ἐν τῇ Αἰγύπτῳ, φωτισμὸν ἀληθείας, ἐδίωξας τοῦ ψεύδους τὸ σκότος· τὰ γὰρ εἴδωλα ταύτης Σωτήρ, μὴ ἐνέγκαντά σου τὴν ἰσχὺν πέπτωκεν, οἱ τούτων δὲ ῥυσθέντες, ἐβόων πρὸς τὴν Θεοτόκον·

Χαῖρε, ἀνόρθωσις τῶν ἀνθρώπων· χαῖρε, κατάπτωσις τῶν δαιμόνων.

Χαῖρε, τῆς ἀπάτης τὴν πλάνην πατήσασα· χαῖρε, τῶν εἰδώλων τὸν δόλον ἐλέγξασα.

Χαῖρε, θάλασσα ποντίσασα Φαραὼ τὸν νοητόν· χαῖρε, πέτρα ἡ ποτίσασα τοὺς διψῶντας τὴν ζωήν.

Χαῖρε, πύρινε στύλε ὁδηγῶν τοὺς ἐν σκότει· χαῖρε, σκέπη τοῦ κόσμου πλατυτέρα νεφέλης.

Χαῖρε, τροφὴ τοῦ μάννα διάδοχε· χαῖρε, τρυφῆς ἁγίας διάκονε.

Χαῖρε, ἡ γῆ τῆς ἐπαγγελίας· χαῖρε, ἐξ ἧς ῥέει μέλι καὶ γάλα.

Χαῖρε, Νύμφη ἀνύμφευτε.

Μέλλοντος Συμεῶνος, τοῦ παρόντος αἰῶνος, μεθίστασθαι τοῦ ἀπατεῶνος, ἐπεδόθης ὡς βρέφος αὐτῷ, ἀλλ᾽ ἐγνώσθης τούτῳ καὶ Θεὸς τέλειος· διόπερ ἐξεπλάγη σου τὴν ἄρρητον σοφίαν κράζων·

Ἀλληλούϊα.

Νέαν ἔδειξε κτίσιν, ἐμφανίσας ὁ Κτίστης, ἡμῖν τοῖς ὑπ᾽ αὐτοῦ γενομένοις· ἐξ ἀσπόρου βλαστήσας γαστρός, καὶ φυλάξας ταύτην ὥσπερ ἦν ἄφθορον, ἵνα τὸ θαῦμα βλέποντες, ὑμνήσωμεν αὐτὴν βοῶντες·





Χαῖρε, τὸ ἄνθος τῆς ἀφθαρσίας· χαῖρε, τὸ στέφος τῆς ἐγκρατείας.

Χαῖρε, ἀναστάσεως τύπον ἐκλάμπουσα· χαῖρε, τῶν ἀγγέλων τὸν βίον ἐμφαίνουσα.

Χαῖρε, δένδρον ἀγλαόκαρπον, ἐξ οὗ τρέφονται πιστοί· χαῖρε, ξύλον εὐσκιόφυλλον, ὑφ᾽ οὗ σκέπονται πολλοί.

Χαῖρε, κυοφοροῦσα ὁδηγὸν πλανωμένοις· χαῖρε, ἀπογεννῶσα λυτρωτὴν αἰχμαλώτοις.

Χαῖρε, κριτοῦ δικαίου δυσώπησις· χαῖρε, πολλῶν πταιόντων συγχώρησις.

Χαῖρε, στολὴ τῶν γυμνῶν παρρησίας· χαῖρε, στοργὴ πάντα πόθον νικῶσα.

Χαῖρε, Νύμφη ἀνύμφευτε.

Ξένον τόκον ἰδόντες, ξενωθῶμεν τοῦ κόσμου, τὸν νοῦν εἰς οὐρανὸν μεταθέντες· διὰ τοῦτο γὰρ ὁ ὑψηλὸς Θεός, ἐπὶ γῆς ἐφάνη ταπεινὸς ἄνθρωπος, βουλόμενος ἑλκῦσαι πρὸς τὸ ὕψος, τοὺς αὐτῷ βοῶντας·

Ἀλληλούϊα.

Ὅλος ἦν ἐν τοῖς κάτω, καὶ τῶν ἄνω οὐδόλως ἀπῆν ὁ ἀπερίγραπτος Λόγος· συγκατάβασις γὰρ θεϊκή, οὐ μετάβασις δὲ τοπικὴ γέγονε, καὶ τόκος ἐκ Παρθένου θεολήπτου, ἀκουούσης ταῦτα·

Χαῖρε, Θεοῦ ἀχωρήτου χώρα· χαῖρε, σεπτοῦ μυστηρίου θύρα.

Χαῖρε, τῶν ἀπίστων ἀμφίβολον ἄκουσμα· χαῖρε, τῶν πιστῶν ἀναμφίβολον καύχημα.

Χαῖρε, ὄχημα πανάγιον τοῦ ἐπὶ τῶν Χερουβίμ· χαῖρε, οἴκημα πανάριστον τοῦ ἐπὶ τῶν Σεραφίμ.

Χαῖρε, ἡ τἀναντία εἰς ταὐτὸ ἀγαγοῦσα· χαῖρε, ἡ παρθενίαν καὶ λοχείαν ζευγνῦσα.

Χαῖρε, δι' ἧς ἐλύθη παράβασις· χαῖρε, δι' ἧς ἠνοίχθη παράδεισος.

Χαῖρε, ἡ κλεὶς τῆς Χριστοῦ βασιλείας· χαῖρε, ἐλπὶς ἀγαθῶν αἰωνίων.

Χαῖρε, Νύμφη ἀνύμφευτε.

Πᾶσα φύσις ἀγγέλων, κατεπλάγη τὸ μέγα, τῆς σῆς ἐνανθρωπήσεως ἔργον· τὸν ἀπρόσιτον γὰρ ὡς Θεόν, ἐθεώρει πᾶσι προσιτὸν ἄνθρωπον, ἡμῖν μὲν συνδιάγοντα, ἀκούοντα δὲ παρὰ πάντων οὕτως·

Ἀλληλούϊα.

Ῥήτορας πολυφθόγγους, ὡς ἰχθύας ἀφώνους, ὁρῶμεν ἐπὶ σοὶ Θεοτόκε· ἀποροῦσι γὰρ λέγειν τὸ πῶς, καὶ παρθένος μένεις καὶ τεκεῖν ἴσχυσας· ἡμεῖς δὲ τὸ μυστήριον θαυμάζοντες, πιστῶς βοῶμεν·

Χαῖρε, σοφίας Θεοῦ δοχεῖον· χαῖρε, προνοίας αὐτοῦ ταμεῖον.

Χαῖρε, φιλοσόφους ἀσόφους δεικνύουσα· χαῖρε, τεχνολόγους ἀλόγους ἐλέγχουσα.

Χαῖρε, ὅτι ἐμωράνθησαν οἱ δεινοὶ συζητηταί· χαῖρε, ὅτι ἐμαράνθησαν οἱ τῶν μύθων ποιηταί.





Χαῖρε, τῶν Ἀθηναίων τὰς πλοκὰς διασπῶσα· χαῖρε, τῶν ἁλιέων τὰς σαγήνας πληροῦσα.

Χαῖρε, βυθοῦ ἀγνοίας ἐξέλκουσα· χαῖρε, πολλοὺς ἐν γνώσει φωτίζουσα.

Χαῖρε, ὁλκὰς τῶν θελόντων σωθῆναι· χαῖρε, λιμὴν τῶν τοῦ βίου πλωτήρων.

Χαῖρε, Νύμφη ἀνύμφευτε.

Σῶσαι θέλων τὸν κόσμον, ὁ τῶν ὅλων κοσμήτωρ, πρὸς τοῦτον αὐτεπάγγελτος ἦλθε· καὶ ποιμὴν ὑπάρχων ὡς Θεός, δι' ἡμᾶς ἐφάνη καθ' ἡμᾶς ἄνθρωπος· ὁμοίῳ γὰρ τὸ ὅμοιον καλέσας, ὡς Θεὸς ἀκούει·

Ἀλληλούϊα.

Τεῖχος εἶ τῶν παρθένων, Θεοτόκε Παρθένε, καὶ πάντων τῶν εἰς σὲ προστρεχόντων· ὁ γὰρ τοῦ οὐρανοῦ καὶ τῆς γῆς, κατεσκεύασέ σε ποιητὴς ἄχραντε, οἰκήσας ἐν τῇ μήτρᾳ σου, καὶ πάντας σοι προσφωνεῖν διδάξας·

Χαῖρε, ἡ στήλη τῆς παρθενίας· χαῖρε, ἡ πύλη τῆς σωτηρίας.

Χαῖρε, ἀρχηγὲ νοητῆς ἀναπλάσεως· χαῖρε, χορηγὲ θεϊκῆς ἀγαθότητος.

Χαῖρε, σὺ γὰρ ἀνεγέννησας τοὺς συλληφθέντας αἰσχρῶς· χαῖρε, σὺ γὰρ ἐνουθέτησας τοὺς συληθέντας τὸν νοῦν.

Χαῖρε, ἡ τὸν φθορέα τῶν φρενῶν καταργοῦσα· χαῖρε, ἡ τὸν σπορέα τῆς ἁγνείας τεκοῦσα.

Χαῖρε, παστὰς ἀσπόρου νυμφεύσεως· χαῖρε, πιστοὺς Κυρίῳ ἁρμόζουσα.

Χαῖρε, καλὴ κουροτρόφε παρθένων· χαῖρε, ψυχῶν νυμφοστόλε ἁγίων.

Χαῖρε, Νύμφη ἀνύμφευτε.

Ὕμνος ἅπας ἡττᾶται, συνεκτείνεσθαι σπεύδων, τῷ πλήθει τῶν πολλῶν οἰκτιρμῶν σου· ἰσαρίθμους γὰρ τῇ ψάμμῳ ᾠδάς, ἂν προσφέρωμέν σοι Βασιλεῦ ἅγιε, οὐδὲν τελοῦμεν ἄξιον, ὧν δέδωκας ἡμῖν, τοῖς σοὶ βοῶσιν·

Ἀλληλούϊα.

Φωτοδόχον λαμπάδα, τοῖς ἐν σκότει φανεῖσαν, ὁρῶμεν τὴν ἁγίαν Παρθένον· τὸ γὰρ ἄϋλον ἅπτουσα φῶς, ὁδηγεῖ πρὸς γνῶσιν θεϊκὴν ἅπαντας, αὐγῇ τὸν νοῦν φωτίζουσα, κραυγῇ δὲ τιμωμένη ταῦτα·

Χαῖρε, ἀκτὶς νοητοῦ ἡλίου· χαῖρε, βολὶς τοῦ ἀδύτου φέγγους.

Χαῖρε, ἀστραπὴ τὰς ψυχὰς καταλάμπουσα· χαῖρε, ὡς βροντὴ τοὺς ἐχθροὺς καταπλήττουσα.

Χαῖρε, ὅτι τὸν πολύφωτον ἀνατέλλεις φωτισμόν· χαῖρε, ὅτι τὸν πολύρρυτον ἀναβλύζεις ποταμόν.

Χαῖρε, τῆς κολυμβήθρας ζωγραφοῦσα τὸν τύπον· χαῖρε, τῆς ἁμαρτίας ἀναιροῦσα τὸν ῥύπον.

Χαῖρε, λουτὴρ ἐκπλύνων συνείδησιν· χαῖρε, κρατὴρ κιρνῶν ἀγαλλίασιν.





Χαῖρε, ὀσμὴ τῆς Χριστοῦ εὐωδίας· χαῖρε, ζωὴ μυστικῆς εὐωχίας.

Χαῖρε, Νύμφη ἀνύμφευτε.

Χάριν δοῦναι θελήσας, ὀφλημάτων ἀρχαίων, ὁ πάντων χρεωλύτης ἀνθρώπων, ἐπεδήμησε δι' ἑαυτοῦ, πρὸς τοὺς ἀποδήμους τῆς αὐτοῦ χάριτος· καὶ σχίσας τὸ χειρόγραφον, ἀκούει παρὰ πάντων οὕτως·

Ἀλληλούϊα.

Ψάλλοντές σου τὸν τόκον, ἀνυμνοῦμέν σε πάντες, ὡς ἔμψυχον ναὸν Θεοτόκε· ἐν τῇ σῇ γὰρ οἰκήσας γαστρί, ὁ συνέχων πάντα τῇ χειρὶ Κύριος, ἡγίασεν, ἐδόξασεν, ἐδίδαξε βοᾶν σοι πάντας·

Χαῖρε, σκηνὴ τοῦ Θεοῦ καὶ Λόγου· χαῖρε, ἁγία ἁγίων μείζων.

Χαῖρε, κιβωτὲ χρυσωθεῖσα τῷ Πνεύματι· χαῖρε, θησαυρὲ τῆς ζωῆς ἀδαπάνητε.

Χαῖρε, τίμιον διάδημα βασιλέων εὐσεβῶν· χαῖρε, καύχημα σεβάσμιον ἱερέων εὐλαβῶν.

Χαῖρε, τῆς Ἐκκλησίας ὁ ἀσάλευτος πύργος· χαῖρε, τῆς βασιλείας τὸ ἀπόρθητον τεῖχος.

Χαῖρε, δι' ἧς ἐγείρονται τρόπαια· χαῖρε, δι' ἧς ἐχθροὶ καταπίπτουσι.

Χαῖρε, χρωτὸς τοῦ ἐμοῦ θεραπεία· χαῖρε, ψυχῆς τῆς ἐμῆς σωτηρία.

Χαῖρε, Νύμφη ἀνύμφευτε.

Ὦ πανύμνητε Μῆτερ, ἡ τεκοῦσα τὸν πάντων ἁγίων ἁγιώτατον Λόγον· (τρίς) δεξαμένη τὴν νῦν προσφοράν, ἀπὸ πάσης ῥῦσαι συμφορᾶς ἅπαντας· καὶ τῆς μελλούσης λύτρωσαι κολάσεως, τοὺς συμβοῶντας·

Ἀλληλούϊα.

Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ ὑπερμάχῳ.

Τῇ ὑπερμάχῳ στρατηγῷ τὰ νικητήρια
Ὡς λυτρωθεῖσα τῶν δεινῶν εὐχαριστήρια
Ἀναγράφω σοι ἡ πόλις σου, Θεοτόκε.
Ἀλλ᾽ ὡς ἔχουσα τὸ κράτος ἀπροσμάχητον
Ἐκ παντοίων με κινδύνων ἐλευθέρωσον,
Ἵνα κράζω σοι· χαῖρε, Νύμφη ἀνύμφευτε.





# ΑΚΟΛΟΥΘΙΑ

## ΤΗΣ ΘΕΙΑΣ ΜΕΤΑΛΗΨΕΩΣ

Μέλλων προσελθεῖν τοῖς ἀχράντοις Μυστηρίοις, μετὰ τὴν ἀφ᾽ ἑσπέρας εἰθισμένην ἀκολουθίαν τοῦ Ἀποδείπνου, ἕως τέλους τοῦ Πιστεύω εἰς ἕνα Θεόν, λέγε μετὰ κατανύξεως τὸν παρόντα κανόνα, οὗ ἡ ἀκροστιχὶς κατ᾽ ἀλφάβητον.

Ὠδὴ α΄. Ἦχος β΄. Δεῦτε λαοί.

Ἄρτος ζωῆς, αἰωνιζούσης γενέσθω μοι, τὸ σῶμά σου τὸ ἅγιον, εὔσπλαγχνε Κύριε, καὶ τὸ τίμιον αἷμα, καὶ νόσων πολυτρόπων, ἀλεξιτήριον.

Βεβηλωθείς, ἔργοις ἀτόποις ὁ δείλαιος, τοῦ σοῦ ἀχράντου σώματος, καὶ θείου αἵματος, ἀνάξιος ὑπάρχω, Χριστὲ τῆς μετουσίας, ἧς με ἀξίωσον.

Θεοτοκίον.

Γῆ ἀγαθή, εὐλογημένη Θεόνυμφε, τὸν στάχυν ἡ βλαστήσασα τὸν ἀγεώργητον, καὶ σωτήριον κόσμῳ, ἀξίωσόν με τοῦτον, τρώγοντα σῴζεσθαι.





Ὠδὴ γ΄. Ἐν πέτρᾳ με τῆς πίστεως.

Δακρύων μοι παράσχου Χριστὲ ῥανίδας, τὸν ῥύπον τῆς καρδίας μου καθαιρούσας, ὡς ἂν εὐσυνειδότως κεκαθαρμένος, πίστει προσέρχωμαι, καὶ φόβῳ Δέσποτα, ἐν τῇ μεταλήψει τῶν θείων δώρων σου.

Εἰς ἄφεσιν γενέσθω μοι τῶν πταισμάτων, τὸ ἄχραντόν σου σῶμα καὶ θεῖον αἷμα, εἰς Πνεύματος ἁγίου τε κοινωνίαν, καὶ εἰς αἰώνιον, ζωὴν φιλάνθρωπε, καὶ παθῶν καὶ θλίψεων ἀλλοτρίωσιν.

Θεοτοκίον.

Ζωῆς τοῦ ἄρτου τράπεζα Παναγία, τοῦ ἄνωθεν δι᾽ ἔλεος καταβάντος, καὶ κόσμῳ καινοτέραν ζωὴν διδόντος, κἀμὲ ἀξίωσον, νῦν τὸν ἀνάξιον, μετὰ φόβου γεύσασθαι τούτου καὶ ζήσεσθαι.

Ὠδὴ δ΄. Ἐλήλυθας ἐκ Παρθένου.

Ἠθέλησας, δι᾽ ἡμᾶς σαρκωθεὶς πολυέλεε, τυθῆναι ὡς πρόβατον, διὰ βροτῶν ἁμαρτήματα· ὅθεν ἱκετεύω σε, καὶ τὰ ἐμὰ ἐξαλεῖψαι πλημμελήματα.

Θεράπευσον, τῆς ψυχῆς μου τὰ τραύματα Κύριε, καὶ ὅλον ἁγίασον, καὶ καταξίωσον Δέσποτα, ὅπως κοινωνήσω σου, τοῦ μυστικοῦ θείου δείπνου ὁ ταλαίπωρος.

Θεοτοκίον.

Ἱλέωσαι, καὶ ἐμοὶ τὸν ἐκ σπλάγχνων σου Δέσποινα, καὶ τήρει με ἄρρυπον, τὸν σὸν ἱκέτην καὶ ἄμεμπτον,

ὅπως εἰσδεχόμενος, τὸν νοητὸν μαργαρίτην ἁγιάζωμαι.

Ὠδὴ ε΄. Ὁ τοῦ φωτὸς χορηγός.

Καθὼς προέφης Χριστέ, γενέσθω δὴ τῷ εὐτελεῖ δούλῳ σου, καὶ ἐν ἐμοὶ μεῖνον ὡς ὑπέσχου· ἰδοὺ γὰρ τὸ σῶμα, τρώγω σου τὸ θεῖον, καὶ πίνω τὸ αἷμά σου.

Λόγε Θεοῦ καὶ Θεέ, ὁ ἄνθραξ γένοιτο τοῦ σοῦ σώματος, εἰς φωτισμὸν τῷ ἐσκοτισμένῳ ἐμοί, καὶ καθαρισμόν, τῆς βεβηλωθείσης, ψυχῆς μου τὸ αἷμά σου.

Θεοτοκίον.

Μαρία Μήτηρ Θεοῦ, τῆς εὐωδίας τὸ σεπτὸν σκήνωμα, ταῖς σαῖς εὐχαῖς, σκεῦος ἐκλογῆς με ἀπέργασαι, ὅπως τῶν ἁγιασμάτων, μετέχω τοῦ τόκου σου.

Ὠδὴ ς΄. Ἐν ἀβύσσῳ πταισμάτων.

Νοῦν ψυχὴν καὶ καρδίαν ἁγίασον, Σῶτερ καὶ τὸ σῶμά μου, καὶ καταξίωσον, ἀκατακρίτως Δέσποτα, τοῖς φρικτοῖς μυστηρίοις προσέρχεσθαι.

Ξενωθείην παθῶν καὶ τῆς χάριτος, σχοίην τε προσθήκην, ζωῆς τε ἀσφάλειαν, διὰ τῆς μεταλήψεως, τῶν ἁγίων Χριστὲ μυστηρίων σου.

Θεοτοκίον.

Ὁ Θεοῦ Θεὸς Λόγος ὁ ἅγιος, ὅλον με ἁγίασον, νῦν προσερχόμενον, τοῖς θείοις μυστηρίοις σου, τῆς ἁγίας Μητρός σου δεήσεσι.





Κοντάκιον. Ἦχος β΄. Τὰ ἄνω ζητῶν.

Τὸν ἄρτον Χριστέ, λαβεῖν μὴ ὑπερίδῃς με, τὸ σῶμα τὸ σόν, καὶ τὸ θεῖον νῦν αἷμά σου· τῶν ἀχράντων Δέσποτα, καὶ φρικτῶν μυστηρίων σου, μετασχεῖν τῷ ἀθλίῳ, μὴ εἰς κρῖμά μοι γένοιτο· γένοιτο δέ μοι, εἰς ζωὴν αἰώνιον καὶ ἀθάνατον.

Ὠδὴ ζ΄. Εἰκόνος χρυσῆς.

Πηγὴ ἀγαθῶν, ἡ μετάληψις Χριστὲ τῶν ἀθανάτων σου, νῦν μυστηρίων γενηθήτω μοι, φῶς καὶ ζωὴ καὶ ἀπάθεια, καὶ πρὸς ἀρετῆς θειοτέρας, προκοπὴν καὶ ἐπίδοσιν, πρόξενος μόνε ἀγαθέ, ὅπως δοξάζω σε.

Ῥυσθείην παθῶν, καὶ ἐχθρῶν καὶ ἀναγκῶν, καὶ πάσης θλίψεως, τρόμῳ καὶ πόθῳ προσιὼν τανῦν, μετ' εὐλαβείας φιλάνθρωπε, σοῦ τοῖς ἀθανάτοις, καὶ θείοις μυστηρίοις, καὶ ψάλλων σοι· εὐλογητὸς εἶ ὁ Θεός, ὁ τῶν πατέρων ἡμῶν.

Θεοτοκίον.

Σωτῆρα Χριστόν, ἡ τεκοῦσα ὑπὲρ νοῦν Θεοχαρίτωτε, ἐκδυσωπῶ σε νῦν ὁ δοῦλός σου, τὴν καθαρὰν ὁ ἀκάθαρτος· μέλλοντά με νῦν τοῖς ἀχράντοις μυστηρίοις προσέρχεσθαι, κάθαρον ὅλον μολυσμοῦ, σαρκὸς καὶ πνεύματος.

Ὠδὴ η΄. Τὸν ἐν καμίνῳ τοῦ πυρός.

Τῶν οὐρανίων καὶ φρικτῶν, καὶ ἁγίων σου Χριστὲ νῦν μυστηρίων, καὶ τοῦ θείου σου δείπνου καὶ μυ-

στικοῦ, κοινωνὸν γενέσθαι κἀμὲ καταξίωσον, τὸν ἀπεγνωσμένον, ὁ Θεὸς ὁ Σωτήρ μου.

Ὑπὸ τὴν σὴν καταφυγών, εὐσπλαγχνίαν ἀγαθὲ κράζω σοι φόβῳ· ἐν ἐμοὶ μεῖνον Σῶτερ, κἀγὼ ὡς ἔφης ἐν σοί· ἰδοὺ γάρ, θαρρῶν τῷ ἐλέει σου, τρώγω σου τὸ σῶμα, καὶ πίνω σου τὸ αἷμα.

Θεοτοκίον.

Φρίττω δεχόμενος τὸ πῦρ, μὴ φλεχθῶ ὡσεὶ κηρὸς καὶ ὡσεὶ χόρτος· ὢ φρικτοῦ μυστηρίου! ὢ εὐσπλαγχνίας Θεοῦ! πῶς θείου σώματος καὶ αἵματος, ὁ πηλὸς μετέχω, καὶ ἀφθαρτοποιοῦμαι!

Ὠδὴ θ΄. Ἀνάρχου γεννήτορος.

Χρηστός ἐστι γεύσασθε, καὶ ἴδετε ὁ Κύριος· δι' ἡμᾶς καθ' ἡμᾶς γὰρ πάλαι γενόμενος, ἅπαξ ἑαυτόν τε προσάξας, ὡς προσφοράν, Πατρὶ τῷ ἰδίῳ, ἀεὶ σφαγιάζεται, ἁγιάζων τοὺς μετέχοντας.

Ψυχὴν σὺν τῷ σώματι, ἁγιασθείην Δέσποτα, φωτισθείην σωθείην, γενοίμην οἶκός σου, τῇ τῶν μυστηρίων μεθέξει τῶν ἱερῶν, ἔνοικόν σε ἔχων, σὺν Πατρὶ καὶ Πνεύματι, εὐεργέτα πολυέλεε.

Ὡς πῦρ γενηθήτω μοι, καὶ ὡσεὶ φῶς τὸ σῶμά σου, καὶ τὸ αἷμα Σωτήρ μου τὸ τιμιώτατον, φλέγον ἁμαρτίας τὴν ὕλην, καὶ ἐμπιπρῶν παθῶν τὰς ἀκάνθας, καὶ ὅλον φωτίζον με, προσκυνεῖν σου τὴν θεότητα.





Θεοτοκίον.

Θεὸς σεσωμάτωται, ἐκ τῶν ἁγνῶν αἱμάτων σου· ὅθεν πᾶσα ὑμνεῖ σε, γενεὰ Δέσποινα, νόων τε τὰ πλήθη δοξάζει, ὡς διὰ σοῦ σαφῶς κατιδόντα, τὸν πάντων δεσπόζοντα, οὐσιωθέντα τὸ ἀνθρώπινον.

Καὶ εὐθὺς τὸ Ἄξιόν ἐστι, τρισάγιον καὶ τὰ λοιπὰ τοῦ Ἀποδείπνου καὶ ἀπόλυσις.

Τῇ δὲ ἐπαύριον.

Μετὰ τὴν συνήθη ἑωθινὴν προσευχήν, λέγε· τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν (σελ. 13-14). Κύριε, ἐλέησον ιβ΄. Δόξα, καὶ νῦν. Δεῦτε προσκυνήσωμεν γ΄ καὶ τοὺς ἑπομένους ψαλμούς.

Ψαλμὸς κβ΄ (22).

Κύριος ποιμαίνει με καὶ οὐδέν με ὑστερήσει· εἰς τόπον χλόης, ἐκεῖ με κατεσκήνωσεν.

Ἐπὶ ὕδατος ἀναπαύσεως ἐξέθρεψέ με, τὴν ψυχήν μου ἐπέστρεψεν.

Ὡδήγησέ με ἐπὶ τρίβους δικαιοσύνης ἕνεκεν τοῦ ὀνόματος αὐτοῦ.

Ἐὰν γὰρ καὶ πορευθῶ ἐν μέσῳ σκιᾶς θανάτου οὐ φοβηθήσομαι κακά, ὅτι σὺ μετ' ἐμοῦ εἶ.

Ἡ ῥάβδος σου καὶ ἡ βακτηρία σου, αὐταί με παρεκάλεσαν.

Ἡτοίμασας ἐνώπιόν μου τράπεζαν ἐξ ἐναντίας τῶν θλιβόντων με.

Ἐλίπανας ἐν ἐλαίῳ τὴν κεφαλήν μου, καὶ τὸ ποτήριόν σου μεθύσκον με ὡσεὶ κράτιστον.

Καὶ τὸ ἔλεός σου καταδιώξει με πάσας τὰς ἡμέρας τῆς ζωῆς μου.

Καὶ τὸ κατοικεῖν με ἐν οἴκῳ Κυρίου εἰς μακρότητα ἡμερῶν.

## Ψαλμὸς κγ΄ (23).

Τοῦ Κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς, ἡ οἰκουμένη καὶ πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ.

Αὐτὸς ἐπὶ θαλασσῶν ἐθεμελίωσεν αὐτήν, καὶ ἐπὶ ποταμῶν ἡτοίμασεν αὐτήν.

Τίς ἀναβήσεται εἰς τὸ ὄρος τοῦ Κυρίου; ἢ τίς στήσεται ἐν τόπῳ ἁγίῳ αὐτοῦ;

Ἀθῷος χερσὶ καὶ καθαρὸς τῇ καρδίᾳ, ὃς οὐκ ἔλαβεν ἐπὶ ματαίῳ τὴν ψυχὴν αὐτοῦ, καὶ οὐκ ὤμοσεν ἐπὶ δόλῳ τῷ πλησίον αὐτοῦ.

Οὗτος λήψεται εὐλογίαν παρὰ Κυρίου, καὶ ἐλεημοσύνην παρὰ Θεοῦ σωτῆρος αὐτοῦ.

Αὕτη ἡ γενεὰ ζητούντων τὸν Κύριον, ζητούντων τὸ πρόσωπον τοῦ Θεοῦ Ἰακώβ.

Ἄρατε πύλας, οἱ ἄρχοντες ὑμῶν, καὶ ἐπάρθητε, πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης.

Τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης; Κύριος κραταιὸς καὶ δυνατός, Κύριος δυνατὸς ἐν πολέμῳ.





Ἄρατε πύλας, οἱ ἄρχοντες ὑμῶν, καὶ ἐπάρθητε, πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης.

Τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης; Κύριος τῶν δυνάμεων, αὐτός ἐστιν ὁ βασιλεὺς τῆς δόξης.

## Ψαλμὸς ριε΄ (115).

Ἐπίστευσα, διὸ ἐλάλησα· ἐγὼ δὲ ἐταπεινώθην σφόδρα.

Ἐγὼ δὲ εἶπα ἐν τῇ ἐκστάσει μου· Πᾶς ἄνθρωπος ψεύστης.

Τί ἀνταποδώσω τῷ Κυρίῳ περὶ πάντων, ὧν ἀνταπέδωκέ μοι;

Ποτήριον σωτηρίου λήψομαι καὶ τὸ ὄνομα Κυρίου ἐπικαλέσομαι.

Τὰς εὐχάς μου τῷ Κυρίῳ ἀποδώσω ἐναντίον παντὸς τοῦ λαοῦ αὐτοῦ.

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ.

Ὦ Κύριε, ἐγὼ δοῦλος σός, ἐγὼ δοῦλος σὸς καὶ υἱὸς τῆς παιδίσκης σου· διέρρηξας τοὺς δεσμούς μου.

Σοὶ θύσω θυσίαν αἰνέσεως, καὶ ἐν ὀνόματι Κυρίου ἐπικαλέσομαι.

Τὰς εὐχάς μου τῷ Κυρίῳ ἀποδώσω ἐναντίον παντὸς τοῦ λαοῦ αὐτοῦ, ἐν αὐλαῖς οἴκου Κυρίου, ἐν μέσῳ σου, Ἰερουσαλήμ.

Δόξα, καὶ νῦν.

Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα, δόξα σοι, ὁ Θεός γ΄.

Κύριε, ἐλέησον γ΄.

Καὶ τὰ παρόντα τροπάρια. Ἦχος πλ. β΄.

Τὰς ἀνομίας μου πάριδε Κύριε, ὁ ἐκ Παρθένου τεχθείς, καὶ τὴν καρδίαν μου καθάρισον, ναὸν αὐτὴν ποιῶν τοῦ ἀχράντου σου σώματος καὶ αἵματος· μὴ με ἐξουδενώσῃς ἀπὸ τοῦ σοῦ προσώπου, ὁ ἀμέτρητον ἔχων τὸ μέγα ἔλεος.

Δόξα.

Εἰς τὴν μετάληψιν τῶν ἁγιασμάτων σου, πῶς ἀναιδεσθῶ ὁ ἀνάξιος; ἐὰν γὰρ τολμήσω σοι προσελθεῖν σὺν τοῖς ἀξίοις, ὁ χιτών με ἐλέγχει, ὅτι οὐκ ἔστι τοῦ δείπνου, καὶ κατάκρισιν προξενήσω, τῇ πολυαμαρτήτῳ μου ψυχῇ. Καθάρισον Κύριε, τὸν ῥύπον τῆς ψυχῆς μου, καὶ σῶσόν με ὡς φιλάνθρωπος.

Καὶ νῦν. Θεοτοκίον.

Πολλὰ τὰ πλήθη τῶν ἐμῶν, Θεοτόκε πταισμάτων· πρὸς σὲ κατέφυγον ἁγνή, σωτηρίας δεόμενος. Ἐπίσκεψαι τὴν ἀσθενοῦσάν μου ψυχήν, καὶ πρέσβευε τῷ Υἱῷ σου καὶ Θεῷ ἡμῶν, δοθῆναί μοι τὴν ἄφεσιν, ὧν ἔπραξα δεινῶν, μόνη εὐλογημένη.

Τῇ δὲ ἁγίᾳ καὶ μεγάλῃ Πέμπτῃ τὸ παρόν.

Ὅτε οἱ ἔνδοξοι μαθηταί, ἐν τῷ νιπτῆρι τοῦ δείπνου ἐφωτίζοντο, τότε Ἰούδας ὁ δυσσεβής, φιλαργυρίαν νοσήσας ἐσκοτίζετο, καὶ ἀνόμοις κριταῖς, σὲ τὸν δίκαιον κριτὴν παραδίδωσι. Βλέπε χρημάτων ἐραστά, τὸν διὰ ταῦτα ἀγχόνῃ χρησάμενον· φεῦγε ἀκόρεστον ψυχήν,





τὴν Διδασκάλῳ τοιαῦτα τολμήσασαν. Ὁ περὶ πάντας ἀγαθός, Κύριε δόξα σοι.

Τὸ Κύριε, ἐλέησον μ΄. Μετανοίας ὅσας βούλει· καὶ εὐθὺς τὰς ἑπομένας ἱκετηρίους εὐχάς.

Στίχοι διδακτικοὶ περὶ τοῦ πῶς δεῖ προσέρχεσθαι τοῖς ἀχράντοις μυστηρίοις.

Μέλλων φαγεῖν, ἄνθρωπε, σῶμα Δεσπότου,
φόβῳ πρόσελθε, μὴ φλεγῇς· πῦρ τυγχάνει.
Θεῖον δὲ πίνων αἷμα πρὸς μετουσίαν,
πρῶτον καταλλάγηθι τοῖς σὲ λυποῦσιν,
ἔπειτα θαρρῶν μυστικὴν βρῶσιν φάγε.

Ἕτεροι ὅμοιοι.

Πρὸ τοῦ μετασχεῖν τῆς φρικώδους θυσίας
τοῦ ζωοποιοῦ σώματος τοῦ Δεσπότου
τῷδε πρόσευξαι τῷ τρόπῳ μετὰ τρόμου.

Εὐχὴ α΄. Τοῦ Μεγάλου Βασιλείου.

Δέσποτα Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ἡ πηγὴ τῆς ζωῆς καὶ τῆς ἀθανασίας, ὁ πάσης ὁρατῆς καὶ ἀοράτου κτίσεως δημιουργός, ὁ τοῦ ἀνάρχου Πατρὸς συναΐδιος Υἱὸς καὶ συνάναρχος, ὁ δι' ὑπερβολὴν ἀγαθότητος ἐπ' ἐσχάτων τῶν ἡμερῶν σάρκα φορέσας καὶ σταυρωθεὶς καὶ τυθεὶς ὑπὲρ τῶν ἀχαρίστων καὶ ἀγνωμόνων ἡμῶν καὶ τῷ οἰκείῳ σου αἵματι ἀναπλάσας τὴν φθαρεῖσαν ὑπὸ τῆς ἁμαρτίας φύσιν ἡμῶν, αὐτός, ἀθάνατε βασιλεῦ, πρόσδεξαι κἀμοῦ τοῦ ἁμαρτωλοῦ τὴν μετάνοιαν καὶ κλῖνον τὸ οὖς σου ἐμοὶ καὶ εἰσάκουσον

τῶν ῥημάτων μου. Ἥμαρτον γάρ, Κύριε, ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου καὶ οὐκ εἰμὶ ἄξιος ἀτενίσαι εἰς τὸ ὕψος τῆς δόξης σου· παρώργισα γάρ σου τὴν ἀγαθότητα τὰς σὰς ἐντολὰς παραβὰς καὶ μὴ ὑπακούσας τοῖς σοῖς προστάγμασιν. Ἀλλὰ σύ, Κύριε, ἀνεξίκακος ὤν, μακρόθυμός τε καὶ πολυέλεος, οὐ παρέδωκάς με συναπολέσθαι ταῖς ἀνομίαις μου, τὴν ἐμὴν πάντως ἀναμένων ἐπιστροφήν. Σὺ γὰρ εἶπας, φιλάνθρωπε, διὰ τοῦ προφήτου σου, ὅτι οὐ θελήσει θέλω τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν· οὐ γὰρ βούλει, Δέσποτα, τὸ πλάσμα τῶν σῶν ἀπολέσθαι χειρῶν, οὐδὲ εὐδοκεῖς ἐπ' ἀπωλείᾳ ἀνθρώπων, ἀλλὰ θέλεις πάντας σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. Διὸ κἀγώ, εἰ καὶ ἀνάξιός εἰμι τοῦ οὐρανοῦ καὶ τῆς γῆς καὶ αὐτῆς τῆς προσκαίρου ζωῆς, ὅλον ἐμαυτὸν ὑποτάξας τῇ ἁμαρτίᾳ καὶ ταῖς ἡδοναῖς δουλώσας καὶ τὴν σὴν ἀχρειώσας εἰκόνα, ἀλλὰ ποίημα καὶ πλάσμα σὸν γεγονώς, οὐκ ἀπογινώσκω τὴν ἐμαυτοῦ σωτηρίαν ὁ ἄθλιος· τῇ δὲ σῇ ἀμετρήτῳ εὐσπλαγχνίᾳ θαρρήσας προσέρχομαι. Δέξαι οὖν κἀμέ, φιλάνθρωπε Χριστέ, ὡς τὴν πόρνην, ὡς τὸν λῃστήν, ὡς τὸν τελώνην καὶ ὡς τὸν ἄσωτον· καὶ ἆρόν μου τὸ βαρὺ φορτίον τῶν ἁμαρτιῶν, ὁ τὴν ἁμαρτίαν αἴρων τοῦ κόσμου καὶ τὰς ἀσθενείας τῶν ἀνθρώπων ἰώμενος, ὁ τοὺς κοπιῶντας καὶ πεφορτισμένους πρὸς σεαυτὸν καλῶν καὶ ἀναπαύων, ὁ μὴ ἐλθὼν καλέσαι δικαίους ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν· καὶ καθάρισόν με ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύ-





ματος· δίδαξόν με ἐπιτελεῖν ἁγιωσύνην ἐν φόβῳ σου· ἵνα, ἐν καθαρῷ τῷ μαρτυρίῳ τῆς συνειδήσεώς μου, τῶν ἁγιασμάτων σου τὴν μερίδα ὑποδεχόμενος, ἑνωθῶ τῷ ἁγίῳ σώματί σου καὶ αἵματι καὶ ἕξω σε ἐν ἐμοὶ κατοικοῦντα καὶ μένοντα, σὺν τῷ Πατρὶ καὶ τῷ ἁγίῳ σου Πνεύματι. Ναί, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεός μου· καὶ μὴ εἰς κρῖμά μοι γένοιτο ἡ μετάληψις τῶν ἀχράντων καὶ ζωοποιῶν μυστηρίων σου, μηδὲ ἀσθενὴς γενοίμην ψυχῇ τε καὶ σώματι ἐκ τοῦ ἀναξίως αὐτῶν μεταλαμβάνειν· ἀλλὰ δός μοι μέχρι τελευταίας μου ἀναπνοῆς ἀκατακρίτως ὑποδέχεσθαι τὴν μερίδα τῶν ἁγιασμάτων σου, εἰς Πνεύματος ἁγίου κοινωνίαν, εἰς ἐφόδιον ζωῆς αἰωνίου καὶ εἰς εὐπρόσδεκτον ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ βήματός σου, ὅπως ἂν κἀγὼ σὺν πᾶσι τοῖς ἐκλεκτοῖς σου μέτοχος γένωμαι τῶν ἀκηράτων σου ἀγαθῶν, ὧν ἡτοίμασας τοῖς ἀγαπῶσί σε, Κύριε· ἐν οἷς δεδοξασμένος ὑπάρχεις εἰς τοὺς αἰῶνας. Ἀμήν.

### Εὐχὴ β΄. Τοῦ αὐτοῦ.

Οἶδα, Κύριε, ὅτι ἀναξίως μεταλαμβάνω τοῦ ἀχράντου σου σώματος καὶ τοῦ τιμίου σου αἵματος καὶ ἔνοχός εἰμι καὶ κρῖμα ἐμαυτῷ ἐσθίω καὶ πίνω, μὴ διακρίνων τὸ σῶμα καὶ αἷμα σοῦ τοῦ Χριστοῦ καὶ Θεοῦ μου· ἀλλὰ τοῖς οἰκτιρμοῖς σου θαρρῶν προσέρχομαί σοι τῷ εἰπόντι· Ὁ τρώγων μου τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα ἐν ἐμοὶ μένει κἀγὼ ἐν αὐτῷ. Σπλαγχνίσθητι οὖν, Κύριε, καὶ μὴ παραδειγματίσῃς με τὸν ἁμαρτωλόν,

ἀλλὰ ποίησον μετ᾽ ἐμοῦ κατὰ τὸ ἔλεός σου· καὶ γενέσθω μοι τὰ ἅγια ταῦτα εἰς ἴασιν καὶ κάθαρσιν καὶ φωτισμὸν καὶ φυλακτήριον καὶ σωτηρίαν καὶ ἁγιασμὸν ψυχῆς καὶ σώματος· εἰς ἀποτροπὴν πάσης φαντασίας καὶ πονηρᾶς πράξεως καὶ ἐνεργείας διαβολικῆς, κατὰ διάνοιαν τῆς ἐν τοῖς μέλεσί μου ἐνεργουμένης· εἰς παρρησίαν καὶ ἀγάπην τὴν πρὸς σέ· εἰς διόρθωσιν βίου καὶ ἀσφάλειαν· εἰς αὔξησιν ἀρετῆς καὶ τελειότητος· εἰς πλήρωσιν ἐντολῶν· εἰς Πνεύματος ἁγίου κοινωνίαν· εἰς ἐφόδιον ζωῆς αἰωνίου καὶ εἰς ἀπολογίαν εὐπρόσδεκτον τὴν ἐπὶ τοῦ φοβεροῦ βήματός σου· μὴ εἰς κρῖμα ἢ εἰς κατάκριμα.

### Εὐχὴ γ΄. Ἰωάννου τοῦ Χρυσοστόμου.

Κύριε ὁ Θεός μου, οἶδα ὅτι οὐκ εἰμὶ ἄξιος οὐδὲ ἱκανός, ἵνα μου ὑπὸ τὴν στέγην εἰσέλθῃς τοῦ οἴκου τῆς ψυχῆς, διότι ὅλη ἔρημος καὶ καταπεσοῦσά ἐστι, καὶ οὐκ ἔχεις παρ᾽ ἐμοὶ τόπον ἄξιον τοῦ κλῖναι τὴν κεφαλήν. Ἀλλ᾽ ὡς ἐξ ὕψους δι᾽ ἡμᾶς ἐταπείνωσας σεαυτόν, συμμετρίασον καὶ νῦν τῇ ταπεινώσει μου. Καὶ ὡς κατεδέξω ἐν σπηλαίῳ καὶ φάτνῃ ἀλόγων ἀνακλιθῆναι, οὕτω κατάδεξαι καὶ ἐν τῇ φάτνῃ τῆς ἀλόγου μου ψυχῆς καὶ ἐν τῷ ἐσπιλωμένῳ μου σώματι εἰσελθεῖν. Καὶ ὡς οὐκ ἀπηξίωσας εἰσελθεῖν καὶ συνδειπνῆσαι ἁμαρτωλοῖς ἐν τῇ οἰκίᾳ Σίμωνος τοῦ λεπροῦ, οὕτω κατάδεξαι εἰσελθεῖν καὶ εἰς τὸν οἶκον τῆς ταπεινῆς μου ψυχῆς, τοῦ λεπροῦ καὶ ἁμαρτωλοῦ. Καὶ ὡς οὐκ ἀπώσω τὴν ὁμοίαν μοι πόρνην καὶ ἁμαρτωλὸν προσερχομένην καὶ ἁπτο-





μένην σου, οὕτω σπλαγχνίσθητι καὶ ἐπ᾽ ἐμοὶ τῷ ἁμαρτωλῷ προσερχομένῳ καὶ ἁπτομένῳ σου. Καὶ ὡς οὐκ ἐβδελύξω τὸ ῥυπαρὸν ἐκείνης στόμα καὶ ἐναγὲς καταφιλοῦν σε, μηδὲ ἐμοῦ βδελύξῃ τὸ ῥυπαρώτερον ἐκείνης στόμα καὶ ἐναγέστερον, μηδὲ τὰ ἔμμυσα καὶ ἀκάθαρτά μου χείλη καὶ βέβηλα καὶ τὴν ἀκαθαρτοτέραν μου γλῶσσαν. Ἀλλὰ γενέσθω μοι ὁ ἄνθραξ τοῦ παναγίου σου σώματος καὶ τοῦ τιμίου σου αἵματος εἰς ἁγιασμὸν καὶ φωτισμὸν καὶ ῥῶσιν τῆς ταπεινῆς μου ψυχῆς καὶ τοῦ σώματος· εἰς κουφισμὸν τοῦ βάρους τῶν πολλῶν μου πλημμελημάτων· εἰς φυλακτήριον πάσης διαβολικῆς ἐνεργείας· εἰς ἀποτροπὴν καὶ ἐμπόδιον τῆς φαύλης μου καὶ πονηρᾶς συνηθείας· εἰς ἀπονέκρωσιν τῶν παθῶν· εἰς περιποίησιν τῶν ἐντολῶν σου· εἰς προσθήκην τῆς θείας σου χάριτος καὶ τῆς σῆς βασιλείας οἰκείωσιν. Οὐ γὰρ ὡς καταφρονῶν προσέρχομαί σοι, Χριστὲ ὁ Θεός, ἀλλ᾽ ὡς θαρρῶν τῇ ἀφάτῳ σου ἀγαθότητι καὶ ἵνα μή, ἐπὶ πολὺ ἀφιστάμενος τῆς κοινωνίας σου, θηριάλωτος ὑπὸ τοῦ νοητοῦ λύκου γένωμαι. Διὸ δέομαί σου· ὡς μόνος ὢν ἅγιος, Δέσποτα, ἁγίασόν μου τὴν ψυχὴν καὶ τὸ σῶμα, τὸν νοῦν καὶ τὴν καρδίαν, τοὺς νεφροὺς καὶ τὰ σπλάγχνα, καὶ ὅλον με ἀνακαίνισον καὶ ῥίζωσον τὸν φόβον σου ἐν τοῖς μέλεσί μου καὶ τὸν ἁγιασμόν σου ἀνεξάλειπτον ἀπ᾽ ἐμοῦ ποίησον. Καὶ γενοῦ μοι βοηθὸς καὶ ἀντιλήπτωρ, κυβερνῶν ἐν εἰρήνῃ τὴν ζωήν μου, καταξιῶν με καὶ τῆς ἐκ δεξιῶν σου παραστάσεως μετὰ τῶν ἁγίων σου· εὐχαῖς καὶ πρεσβείαις

τῆς παναχράντου σου Μητρός, τῶν ἀΰλων σου λειτουργῶν καὶ ἀχράντων δυνάμεων καὶ πάντων τῶν ἁγίων τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων. Ἀμήν.

Εὐχὴ δ'. Τοῦ αὐτοῦ.

Οὐκ εἰμὶ ἱκανός, Δέσποτα Κύριε, ἵνα εἰσέλθῃς ὑπὸ τὴν στέγην τῆς ψυχῆς μου· ἀλλ' ἐπειδὴ βούλει σύ, ὡς φιλάνθρωπος, οἰκεῖν ἐν ἐμοί, θαρρῶν προσέρχομαι. Κελεύεις, ἀναπετάσω τὰς πύλας, ἃς σὺ μόνος ἐδημιούργησας, καὶ εἰσέρχῃ μετὰ φιλανθρωπίας, ὡς πέφυκας· εἰσέρχῃ καὶ φωτίζεις τὸν ἐσκοτισμένον μου λογισμόν. Πιστεύω ὡς τοῦτο ποιήσεις· οὐ γὰρ πόρνην προσελθοῦσάν σοι μετὰ δακρύων ἀπέφυγες, οὐδὲ τελώνην ἀπεβάλου μετανοήσαντα, οὐδὲ λῃστὴν ἐπιγνόντα τὴν βασιλείαν σου ἀπεδίωξας, οὐδὲ διώκτην μετανοήσαντα κατέλιπες, ὃ ἦν· ἀλλὰ τοὺς ὑπὸ τῆς μετανοίας σοι προσαχθέντας ἅπαντας ἐν τῷ χορῷ τῶν σῶν φίλων κατέταξας, ὁ μόνος ὑπάρχων εὐλογημένος πάντοτε, νῦν καὶ εἰς τοὺς ἀπεράντους αἰῶνας. Ἀμήν.

Εὐχὴ ε'. Τοῦ αὐτοῦ.

Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεός μου, ἄνες, ἄφες, ἱλάσθητι καὶ συγχώρησόν μοι τῷ ἁμαρτωλῷ καὶ ἀχρείῳ καὶ ἀναξίῳ δούλῳ σου τὰ πταίσματα καὶ πλημμελήματα καὶ παραπτώματά μου, ὅσα σοι ἐκ νεότητός μου μέχρι τῆς παρούσης ἡμέρας καὶ ὥρας ἥμαρτον, εἴτε ἐν γνώσει καὶ ἀγνοίᾳ, εἴτε ἐν λόγοις ἢ ἔργοις ἢ ἐνθυμήσεσιν ἢ διανοήμασι καὶ ἐπιτηδεύμασι καὶ πάσαις





μου ταῖς αἰσθήσεσι. Καὶ τῇ πρεσβείᾳ τῆς ἀσπόρως κυησάσης σε παναχράντου καὶ ἀειπαρθένου Μαρίας τῆς Μητρός σου, τῆς μόνης ἀκαταισχύντου ἐλπίδος καὶ προστασίας καὶ σωτηρίας μου, καταξίωσόν με ἀκατακρίτως μεταλαβεῖν τῶν ἀχράντων καὶ ἀθανάτων καὶ ζωοποιῶν καὶ φρικτῶν μυστηρίων σου, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον, εἰς ἁγιασμὸν καὶ φωτισμὸν καὶ ῥώμην καὶ ἴασιν καὶ ὑγείαν ψυχῆς τε καὶ σώματος, καὶ εἰς ἐξάλειψιν καὶ παντελῆ ἀφανισμὸν τῶν πονηρῶν μου λογισμῶν καὶ ἐνθυμήσεων καὶ προλήψεων καὶ νυκτερινῶν φαντασιῶν τῶν σκοτεινῶν καὶ πονηρῶν πνευμάτων. Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα καὶ ἡ τιμὴ καὶ ἡ προσκύνησις, σὺν τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ ϛ'. Ἰωάννου τοῦ Δαμασκηνοῦ.

Δέσποτα Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ὁ μόνος ἔχων ἐξουσίαν ἀνθρώποις ἀφιέναι ἁμαρτίας, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος, πάριδέ μου πάντα τὰ ἐν γνώσει καὶ ἀγνοίᾳ πταίσματα καὶ ἀξίωσόν με ἀκατακρίτως μεταλαβεῖν τῶν θείων καὶ ἐνδόξων καὶ ἀχράντων καὶ ζωοποιῶν σου μυστηρίων, μὴ εἰς κόλασιν, μὴ εἰς προσθήκην ἁμαρτιῶν, ἀλλ' εἰς καθαρισμὸν καὶ ἁγιασμὸν καὶ ἀρραβῶνα τῆς μελλούσης ζωῆς καὶ βασιλείας, εἰς τεῖχος καὶ βοήθειαν καὶ ἀνατροπὴν τῶν ἐναντίων καὶ εἰς ἐξάλειψιν τῶν πολλῶν μου πλημμελη-

μάτων. Σὺ γὰρ εἶ Θεὸς ἐλέους καὶ οἰκτιρμῶν καὶ φιλανθρωπίας, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ ζ'. Συμεὼν τοῦ Νέου Θεολόγου.

Ἀπὸ ῥυπαρῶν χειλέων,
ἀπὸ βδελυρᾶς καρδίας,
ἀπὸ ἀκαθάρτου γλώττης,
ἐκ ψυχῆς ἐρρυπωμένης
δέξαι δέησιν, Χριστέ μου,
καὶ μὴ παρωσάμενός μου
μὴ τοὺς λόγους, μὴ τοὺς τρόπους,
μηδὲ τὴν ἀναισχυντίαν,
δός μοι παρρησίᾳ λέγειν
ἃ βεβούλευμαι, Χριστέ μου·
μᾶλλον δὲ καὶ δίδαξόν με
τί με δεῖ ποιεῖν καὶ λέγειν.
Ἥμαρτον ὑπὲρ τὴν πόρνην,
ἥ, μαθοῦσα ποῦ κατάγεις,
μύρον ἐξωνησαμένη,
ἦλθε τολμηρῶς ἀλεῖψαι
σοῦ τοὺς πόδας τοῦ Χριστοῦ μου,
τοῦ Δεσπότου καὶ Θεοῦ μου.
Ὡς ἐκείνην οὐκ ἀπώσω,
προσελθοῦσαν ἐκ καρδίας,
μηδ' ἐμὲ βδελύξῃ, Λόγε·





σοὺς δὲ πάρασχέ μοι πόδας
καὶ κρατῆσαι καὶ φιλῆσαι
καὶ τῷ ῥείθρῳ τῶν δακρύων,
ὡς πολυτιμήτῳ μύρῳ,
τούτους τολμηρῶς ἀλεῖψαι.
Πλῦνόν με τοῖς δάκρυσί μου,
κάθαρον αὐτοῖς με, Λόγε·
ἄφες καὶ τὰ πταίσματά μου
καὶ συγγνώμην πάρασχέ μοι.
Οἶδας τῶν κακῶν τὸ πλῆθος,
οἶδας καὶ τὰ τραύματά μου,
καὶ τοὺς μώλωπας ὁρᾷς μου·
ἀλλὰ καὶ τὴν πίστιν οἶδας
καὶ τὴν προθυμίαν βλέπεις
καὶ τοὺς στεναγμοὺς ἀκούεις.
Οὐ λανθάνει σε, Θεέ μου,
ποιητά μου, λυτρωτά μου,
οὐδὲ σταλαγμὸς δακρύων,
οὐδὲ σταλαγμοῦ τι μέρος.
Τὸ μὲν ἀκατέργαστόν μου
ἔγνωσαν οἱ ὀφθαλμοί σου·
ἐπὶ τὸ βιβλίον δέ σου
καὶ τὰ μήπω πεπραγμένα
γεγραμμένα σοι τυγχάνει.
Ἴδε τὴν ταπείνωσίν μου,
ἴδε μου τὸν κόπον, ὅσος!
καὶ τὰς ἁμαρτίας πάσας

ἄφες μοι, Θεὲ τῶν ὅλων·
ἵνα καθαρᾷ καρδίᾳ,
περιτρόμῳ διανοίᾳ
καὶ ψυχῇ συντετριμμένῃ
τῶν ἀχράντων σου μετάσχω
καὶ πανάγνων μυστηρίων,
οἷς ζωοῦται καὶ θεοῦται
πᾶς ὁ τρώγων σε καὶ πίνων
ἐξ εἰλικρινοῦς καρδίας.
Σὺ γὰρ εἶπας, Δέσποτά μου·
Πᾶς ὁ τρώγων μου τὴν σάρκα,
πίνων δέ μου καὶ τὸ αἷμα,
ἐν ἐμοὶ μὲν οὗτος μένει,
ἐν αὐτῷ δ' ἐγὼ τυγχάνω.
Ἀληθὴς ὁ λόγος πάντως
τοῦ Δεσπότου καὶ Θεοῦ μου·
τῶν γὰρ θείων ὁ μετέχων
καὶ θεοποιῶν χαρίτων,
οὐμενουν, οὐκ ἔστι μόνος,
ἀλλὰ μετὰ σοῦ, Χριστέ μου,
τοῦ φωτὸς τοῦ τρισηλίου,
τοῦ φωτίζοντος τὸν κόσμον.
Ἵνα γοῦν μὴ μόνος μένω,
δίχα σοῦ τοῦ ζωοδότου,
τῆς πνοῆς μου, τῆς ζωῆς μου,
τοῦ ἀγαλλιάματός μου,
τῆς τοῦ κόσμου σωτηρίας,





διὰ τοῦτό σοι προσῆλθον,
ὡς ὁρᾷς, μετὰ δακρύων
καὶ ψυχῆς συντετριμμένης,
λύτρον τῶν ἐμῶν πταισμάτων
ἱκετεύων τοῦ λαβεῖν με
καὶ τῶν σῶν ζωοπαρόχων
καὶ ἀμέμπτων μυστηρίων
μετασχεῖν ἀκατακρίτως·
ἵνα μένῃς, καθὼς εἶπας,
μετ' ἐμοῦ τοῦ τρισαθλίου·
ἵνα μή, χωρὶς εὑρών με
τῆς σῆς χάριτος ὁ πλάνος,
ἀφαρπάσῃ με δολίως
καὶ πλανήσας ἀπαγάγῃ
τῶν θεοποιῶν σου λόγων.
Διὰ τοῦτό σοι προσπίπτω
καὶ θερμῶς ἀναβοῶ σοι·
ὡς τὸν ἄσωτον ἐδέξω
καὶ τὴν πόρνην προσελθοῦσαν,
οὕτω δέξαι με τὸν πόρνον
καὶ τὸν ἄσωτον, οἰκτίρμον,
ἐν ψυχῇ συντετριμμένῃ
νῦν με προσερχόμενόν σοι.
Οἶδα, Σῶτερ, ὅτι ἄλλος,
ὡς ἐγώ, οὐκ ἔπταισέ σοι,
οὐδὲ ἔπραξε τὰς πράξεις,
ἃς ἐγὼ κατειργασάμην.

Ἀλλὰ τοῦτο πάλιν οἶδα,
ὡς οὐ μέγεθος πταισμάτων,
οὐχ ἁμαρτημάτων πλῆθος
ὑπερβαίνει τοῦ Θεοῦ μου
τὴν πολλὴν μακροθυμίαν
καὶ φιλανθρωπίαν ἄκραν·
ἀλλ' ἐλαίῳ συμπαθείας
τοὺς θερμῶς μετανοοῦντας
καὶ καθαίρεις καὶ λαμπρύνεις
καὶ φωτὸς ποιεῖς μετόχους,
κοινωνοὺς θεότητός σου
ἐργαζόμενος ἀφθόνως·
καί, τὸ ξένον καὶ ἀγγέλοις
καὶ ἀνθρώπων διανοίαις,
ὁμιλεῖς αὐτοῖς πολλάκις
ὥσπερ φίλοις σου γνησίοις.
Ταῦτα τολμηρὸν ποιεῖ με,
ταῦτά με πτερεῖ, Χριστέ μου·
καὶ θαρρῶν ταῖς σαῖς πλουσίαις
πρὸς ἡμᾶς εὐεργεσίαις,
χαίρων τε καὶ τρέμων ἅμα,
τοῦ πυρὸς μεταλαμβάνω,
χόρτος ὤν, καί, ξένον θαῦμα!
δροσιζόμενος ἀφράστως,
ὡσπεροῦν ἡ βάτος πάλαι
ἡ ἀφλέκτως καιομένη.
Τοίνυν εὐχαρίστῳ γνώμῃ,





εὐχαρίστῳ δὲ καρδίᾳ,
εὐχαρίστοις μέλεσί μου
τῆς ψυχῆς καὶ τῆς σαρκός μου,
προσκυνῶ καὶ μεγαλύνω
καὶ δοξάζω σε, Θεέ μου,
ὡς εὐλογημένον ὄντα,
νῦν τε καὶ εἰς τοὺς αἰῶνας.

## Εὐχὴ η΄. Συμεὼν τοῦ Μεταφραστοῦ.

Ὁ μόνος καθαρὸς καὶ ἀκήρατος Κύριος, ὁ δι' οἶκτον φιλανθρωπίας ἀνεκδιήγητον τὸ ἡμέτερον ὅλον προσλαβόμενος φύραμα ἐκ τῶν ἁγνῶν καὶ παρθενικῶν αἱμάτων τῆς ὑπερφυῶς κυησάσης σε, Πνεύματος θείου ἐπελεύσει καὶ εὐδοκίᾳ Πατρὸς ἀϊδίου, Χριστὲ Ἰησοῦ, σοφία Θεοῦ καὶ εἰρήνη καὶ δύναμις, ὁ τῷ προσλήμματί σου τὰ ζωοποιὰ καὶ σωτήρια πάθη καταδεξάμενος, τὸν σταυρόν, τοὺς ἥλους, τὴν λόγχην, τὸν θάνατον, νέκρωσόν μου τὰ ψυχοφθόρα πάθη τοῦ σώματος. Ὁ τῇ ταφῇ σου τὰ τοῦ ᾅδου σκυλεύσας βασίλεια, θάψον μου διὰ τῶν ἀγαθῶν λογισμῶν τὰ πονηρὰ διαβούλια καὶ τὰ τῆς πονηρίας πνεύματα διασκέδασον. Ὁ τῇ τριημέρῳ σου καὶ ζωηφόρῳ ἀναστάσει τὸν πεπτωκότα προπάτορα ἀναστήσας, ἀνάστησόν με τῇ ἁμαρτίᾳ κατολισθήσαντα, τρόπους μοι μετανοίας ὑποτιθέμενος. Ὁ τῇ ἐνδόξῳ σου ἀναλήψει τῆς σαρκὸς θεώσας τὸ πρόσλημμα καὶ τοῦτο τῇ δεξιᾷ καθέδρᾳ τιμήσας τοῦ Πατρός, ἀξίωσόν με διὰ τῆς τῶν ἁγίων σου μυστηρίων μεταλήψεως τῆς δεξιᾶς

μερίδος τῶν σῳζομένων τυχεῖν. Ὁ τῇ ἐπιδημίᾳ τοῦ παρακλήτου Πνεύματος σκεύη τίμια τοὺς ἱερούς σου μαθητὰς ἐργασάμενος, δοχεῖον κἀμὲ τῆς αὐτοῦ ἀνάδειξον ἐπελεύσεως. Ὁ μέλλων πάλιν ἔρχεσθαι κρῖναι τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, εὐδόκησον κἀμὲ προϋπαντῆσαί σοι ἐν νεφέλαις, τῷ ποιητῇ καὶ πλάστῃ μου, σὺν πᾶσι τοῖς ἁγίοις σου, ἵνα ἀτελευτήτως δοξολογῶ καὶ ἀνυμνῶ σε, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ θ΄. Ἰωάννου τοῦ Δαμασκηνοῦ.

Πρὸ τῶν θυρῶν τοῦ ναοῦ σου παρέστηκα καὶ τῶν δεινῶν λογισμῶν οὐκ ἀφίσταμαι· ἀλλὰ σύ, Χριστὲ ὁ Θεός, ὁ τελώνην δικαιώσας καὶ Χαναναίαν ἐλεήσας καὶ τῷ ληστῇ παραδείσου πύλας ἀνοίξας, ἄνοιξόν μοι τὰ σπλάγχνα τῆς φιλανθρωπίας σου καὶ δέξαι με προσερχόμενον καὶ ἁπτόμενόν σου ὡς τὴν πόρνην καὶ τὴν αἱμόρρουν· ἡ μὲν γὰρ τοῦ κρασπέδου σου ἁψαμένη εὐχερῶς τὴν ἴασιν ἔλαβεν· ἡ δὲ τοὺς σοὺς ἀχράντους πόδας κρατήσασα τὴν λύσιν τῶν ἁμαρτημάτων ἐκομίσατο. Ἐγὼ δὲ ὁ ἐλεεινὸς ὅλον σου τὸ σῶμα τολμῶν δέξασθαι μὴ καταφλεχθείην· ἀλλὰ δέξαι με ὥσπερ ἐκείνας καὶ φώτισόν μου τὰ τῆς ψυχῆς αἰσθητήρια, καταφλέγων μου τὰ τῆς ἁμαρτίας ἐγκλήματα, πρεσβείαις τῆς ἀσπόρως τεκούσης σε καὶ τῶν ἐπουρανίων δυνάμεων, ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.





Εὐχὴ ι΄. Ἰωάννου τοῦ Χρυσοστόμου.

Πιστεύω, Κύριε, καὶ ὁμολογῶ ὅτι σὺ εἶ ὁ Χριστός, ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος, ὁ ἐλθὼν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτός εἰμι ἐγώ. Ἔτι πιστεύω ὅτι τοῦτο αὐτό ἐστι τὸ ἄχραντον σῶμά σου καὶ τοῦτο αὐτό ἐστι τὸ τίμιον αἷμά σου. Δέομαι οὖν σου· ἐλέησόν με καὶ συγχώρησόν μοι τὰ παραπτώματά μου, τὰ ἑκούσια καὶ τὰ ἀκούσια, τὰ ἐν λόγῳ, τὰ ἐν ἔργῳ, τὰ ἐν γνώσει καὶ ἀγνοίᾳ· καὶ ἀξίωσόν με ἀκατακρίτως μετασχεῖν τῶν ἀχράντων σου μυστηρίων, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον. Ἀμήν.

Ἀπερχόμενος δὲ μεταλαβεῖν λέγε τοὺς παρόντας στίχους.

Συμεὼν τοῦ Μεταφραστοῦ.

Ἰδού, βαδίζω πρὸς θείαν κοινωνίαν·
Πλαστουργέ, μὴ φλέξῃς με τῇ μετουσίᾳ·
πῦρ γὰρ ὑπάρχεις τοὺς ἀναξίους φλέγον·
ἀλλ' οὖν κάθαρον ἐκ πάσης με κηλίδος.

Εἶτα.

Τοῦ δείπνου σου τοῦ μυστικοῦ, σήμερον Υἱὲ Θεοῦ, κοινωνόν με παράλαβε· οὐ μὴ γὰρ τοῖς ἐχθροῖς σου τὸ μυστήριον εἴπω, οὐ φίλημά σοι δώσω, καθάπερ ὁ Ἰούδας· ἀλλ' ὡς ὁ ληστὴς ὁμολογῶ σοι· μνήσθητί μου, Κύριε, ἐν τῇ βασιλείᾳ σου.

Καὶ τοὺς στίχους τούτους.

Θεουργὸν αἷμα φρῖξον, ἄνθρωπε, βλέπων·
ἄνθραξ γάρ ἐστι τοὺς ἀναξίους φλέγων.
Θεοῦ τὸ σῶμα καὶ θεοῖ με καὶ τρέφει·
θεοῖ τὸ πνεῦμα, τὸν δὲ νοῦν τρέφει ξένως.

Καὶ τὰ τροπάρια ταῦτα.

Ἔθελξας πόθῳ με, Χριστέ, καὶ ἠλλοίωσας τῷ θείῳ σου ἔρωτι· ἀλλὰ κατάφλεξον πυρὶ ἀΰλῳ τὰς ἁμαρτίας μου, καὶ ἐμπλησθῆναι τῆς ἐν σοὶ τρυφῆς καταξίωσον, ἵνα τὰς δύο σκιρτῶν μεγαλύνω, ἀγαθέ, παρουσίας σου.

Ἐν ταῖς λαμπρότησι τῶν ἁγίων σου, πῶς εἰσελεύσομαι ὁ ἀνάξιος; ἐὰν γὰρ τολμήσω συνεισελθεῖν εἰς τὸν νυμφῶνα, ὁ χιτών με ἐλέγχει, ὅτι οὐκ ἔστι τοῦ γάμου, καὶ δέσμιος ἐκβαλοῦμαι ὑπὸ τῶν ἀγγέλων. Καθάρισον, Κύριε, τὸν ῥύπον τῆς ψυχῆς μου, καὶ σῶσόν με ὡς φιλάνθρωπος.

Καὶ τὴν παροῦσαν εὐχήν.

Δέσποτα φιλάνθρωπε, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεός μου, μὴ εἰς κρῖμά μοι γένοιτο τὰ ἅγια ταῦτα, διὰ τὸ ἀνάξιον εἶναί με, ἀλλ' εἰς κάθαρσιν καὶ ἁγιασμὸν ψυχῆς τε καὶ σώματος καὶ εἰς ἀρραβῶνα τῆς μελλούσης ζωῆς καὶ βασιλείας. Ἐμοὶ δὲ τὸ προσκολλᾶσθαι τῷ Θεῷ ἀγαθόν ἐστι, τίθεσθαι ἐν τῷ Κυρίῳ τὴν ἐλπίδα τῆς σωτηρίας μου.

Καὶ πάλιν· Τοῦ δείπνου σου τοῦ μυστικοῦ...





# ΕΥΧΑΡΙΣΤΙΑ
# ΜΕΤΑ ΤΗΝ ΘΕΙΑΝ ΜΕΤΑΛΗΨΙΝ

Στίχοι εἰς τὴν εὐχαριστίαν ταύτην προτρεπτικοί.

Ἐπὰν δὲ τύχῃς τῆς καλῆς μετουσίας
τῶν ζωοποιῶν μυστικῶν δωρημάτων,
ὕμνησον εὐθύς, εὐχαρίστησον μέγα,
καὶ τάδε θερμῶς ἐκ ψυχῆς Θεῷ λέγε·
δόξα σοι, ὁ Θεός· δόξα σοι, ὁ Θεός· δόξα σοι, ὁ Θεός.

Καὶ εὐθὺς τὰς ἑπομένας εὐχαριστηρίους εὐχάς.

Ἀνωνύμου.

Εὐχαριστῶ σοι, Κύριε ὁ Θεός μου, ὅτι οὐκ ἀπώσω με τὸν ἁμαρτωλόν, ἀλλὰ κοινωνόν με γενέσθαι τῶν ἁγιασμάτων σου κατηξίωσας. Εὐχαριστῶ σοι, ὅτι με τὸν ἀνάξιον μεταλαβεῖν τῶν ἀχράντων σου καὶ ἐπουρανίων δωρεῶν κατηξίωσας. Ἀλλά, Δέσποτα φιλάνθρωπε, ὁ ὑπὲρ ἡμῶν ἀποθανών τε καὶ ἀναστὰς καὶ χαρισάμενος ἡμῖν τὰ φρικτὰ ταῦτα καὶ ζωοποιά σου μυστήρια, ἐπ᾿ εὐεργεσίᾳ καὶ ἁγιασμῷ τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, δὸς γενέσθαι ταῦτα κἀμοὶ εἰς ἴασιν ψυχῆς τε καὶ σώματος, εἰς ἀποτροπὴν παντὸς ἐναντίου, εἰς φωτισμὸν τῶν ὀφθαλμῶν τῆς καρδίας μου, εἰς εἰρήνην





τῶν ψυχικῶν μου δυνάμεων, εἰς πίστιν ἀκαταίσχυντον, εἰς ἀγάπην ἀνυπόκριτον, εἰς πλησμονὴν σοφίας, εἰς περιποίησιν τῶν ἐντολῶν σου, εἰς προσθήκην τῆς θείας σου χάριτος καὶ τῆς σῆς βασιλείας οἰκείωσιν· ἵνα, ἐν τῷ ἁγιασμῷ σου δι᾿ αὐτῶν φυλαττόμενος, τῆς σῆς χάριτος μνημονεύω διαπαντὸς καὶ μηκέτι ἐμαυτῷ ζῶ ἀλλὰ σοὶ τῷ ἡμετέρῳ Δεσπότῃ καὶ εὐεργέτῃ. Καὶ οὕτω τοῦ τῇδε βίου ἀπάρας ἐπ᾿ ἐλπίδι ζωῆς αἰωνίου εἰς τὴν ἀΐδιον καταντήσω ἀνάπαυσιν, ἔνθα ὁ τῶν ἑορταζόντων ἦχος ὁ ἀκατάπαυστος καὶ ἡ ἀπέραντος ἡδονὴ τῶν καθορώντων τοῦ σοῦ προσώπου τὸ κάλλος τὸ ἄρρητον. Σὺ γὰρ εἶ τὸ ὄντως ἐφετὸν καὶ ἡ ἀνέκφραστος εὐφροσύνη τῶν ἀγαπώντων σε, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σὲ ὑμνεῖ πᾶσα ἡ κτίσις εἰς τοὺς αἰῶνας. Ἀμήν.

Τοῦ Μεγάλου Βασιλείου.

Δέσποτα Χριστέ, ὁ Θεός, βασιλεῦ τῶν αἰώνων καὶ δημιουργὲ τῶν ἁπάντων, εὐχαριστῶ σοι ἐπὶ πᾶσιν, οἷς παρέσχου μοι ἀγαθοῖς, καὶ ἐπὶ τῇ μεταλήψει τῶν ἀχράντων καὶ ζωοποιῶν σου μυστηρίων. Δέομαι οὖν σου, ἀγαθὲ καὶ φιλάνθρωπε· φύλαξόν με ὑπὸ τὴν σκέπην σου καὶ ἐν τῇ τῶν πτερύγων σου σκιᾷ· καὶ δώρησαί μοι ἐν καθαρῷ συνειδότι, μέχρις ἐσχάτης μου ἀναπνοῆς, ἐπαξίως μετέχειν τῶν ἁγιασμάτων σου, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον. Σὺ γὰρ εἶ ὁ ἄρτος τῆς ζωῆς, ἡ πηγὴ τοῦ ἁγιασμοῦ, ὁ δοτὴρ τῶν ἀγαθῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ Πατρὶ καὶ τῷ ἁγίῳ

Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

### Συμεὼν τοῦ Μεταφραστοῦ.

Ὁ δοὺς τροφήν μοι σάρκα σὴν ἑκουσίως,
ὁ πῦρ ὑπάρχων καὶ φλέγων ἀναξίους,
μὴ δὴ καταφλέξῃς με, μή, πλαστουργέ μου·
μᾶλλον δίελθε πρὸς μελῶν μου συνθέσεις,
εἰς πάντας ἁρμούς, εἰς νεφρούς, εἰς καρδίαν.
Φλέξον δ᾿ ἀκάνθας τῶν ὅλων μου πταισμάτων·
ψυχὴν κάθαρον, ἁγίασον τὰς φρένας·
τὰς ἰγνύας στήριξον ὀστέοις ἅμα·
αἰσθήσεων φώτισον ἁπλῆν πεντάδα·
ὅλον με τῷ σῷ συγκαθήλωσον φόβῳ.
Ἀεὶ σκέπε, φρούρει τε καὶ φύλαττέ με
ἐκ παντὸς ἔργου καὶ λόγου ψυχοφθόρου.
Ἅγνιζε καὶ κάθαρε καὶ ῥύθμιζέ με,
κάλλυνε, συνέτιζε καὶ φώτιζέ με·
δεῖξόν με σὸν σκήνωμα Πνεύματος μόνου
καὶ μηκέτι σκήνωμα τῆς ἁμαρτίας·
ἵν᾿ ὡς σὸν οἶκον εἰσόδῳ κοινωνίας
ὡς πῦρ με φεύγῃ πᾶς κακοῦργος, πᾶν πάθος.
Πρέσβεις φέρω σοι πάντας ἡγιασμένους,
τὰς ταξιαρχίας τε τῶν ἀσωμάτων,
τὸν Πρόδρομόν σου, τοὺς σοφοὺς ἀποστόλους,
πρὸς τοῖσδε σὴν ἄχραντον ἁγνὴν Μητέρα·
ὧν τὰς λιτὰς εὔσπλαγχνε δέξαι Χριστέ μου





καὶ φωτὸς παῖδα τὸν σὸν ἔργασαι λάτριν.
Σὺ γὰρ ὑπάρχεις ἁγιασμὸς καὶ μόνος
ἡμῶν ἀγαθὲ τῶν ψυχῶν καὶ λαμπρότης,
καὶ σοὶ πρεπόντως, ὡς Θεῷ καὶ Δεσπότῃ,
δόξαν ἅπαντες πέμπομεν καθ᾿ ἡμέραν.

### Ἀνωνύμου.

Τὸ σῶμά σου τὸ ἅγιον, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, γένοιτό μοι εἰς ζωὴν αἰώνιον, καὶ τὸ αἷμά σου τὸ τίμιον εἰς ἄφεσιν ἁμαρτιῶν. Γένοιτο δέ μοι ἡ εὐχαριστία αὕτη εἰς χαράν, ὑγείαν καὶ εὐφροσύνην· καὶ ἐν τῇ φοβερᾷ καὶ δευτέρᾳ ἐλεύσει σου ἀξίωσόν με τὸν ἁμαρτωλὸν στῆναι ἐκ δεξιῶν τῆς σῆς δόξης, πρεσβείαις τῆς παναχράντου σου Μητρὸς καὶ πάντων σου τῶν ἁγίων. Ἀμήν.

### Ἀνωνύμου. Εἰς τὴν ὑπεραγίαν Θεοτόκον.

Παναγία Δέσποινα Θεοτόκε, τὸ φῶς τῆς ἐσκοτισμένης μου ψυχῆς, ἡ ἐλπίς, ἡ σκέπη, ἡ καταφυγή, ἡ παραμυθία, τὸ ἀγαλλίαμά μου, εὐχαριστῶ σοι, ὅτι ἠξίωσάς με τὸν ἀνάξιον κοινωνὸν γενέσθαι τοῦ ἀχράντου σώματος καὶ τοῦ τιμίου αἵματος τοῦ Υἱοῦ σου. Ἀλλ᾿ ἡ τεκοῦσα τὸ ἀληθινὸν φῶς φώτισόν μου τοὺς νοητοὺς ὀφθαλμοὺς τῆς καρδίας· ἡ τὴν πηγὴν τῆς ἀθανασίας κυήσασα ζωοποίησόν με τὸν τεθανατωμένον τῇ ἁμαρτίᾳ· ἡ τοῦ ἐλεήμονος Θεοῦ φιλεύσπλαγχνος Μήτηρ ἐλέησόν με καὶ δὸς κατάνυξιν καὶ συντριβὴν ἐν τῇ

καρδίᾳ μου καὶ ταπείνωσιν ἐν τοῖς διανοήμασί μου καὶ ἀνάκλησιν ἐν ταῖς αἰχμαλωσίαις τῶν λογισμῶν μου. Καὶ ἀξίωσόν με, μέχρι τελευταίας μου ἀναπνοῆς, ἀκατακρίτως ὑποδέχεσθαι τῶν ἀχράντων μυστηρίων τὸν ἁγιασμόν, εἰς ἴασιν ψυχῆς τε καὶ σώματος· καὶ παράσχου μοι δάκρυα μετανοίας καὶ ἐξομολογήσεως, εἰς τὸ ὑμνεῖν καὶ δοξάζειν σε πάσας τὰς ἡμέρας τῆς ζωῆς μου· ὅτι εὐλογημένη καὶ δεδοξασμένη ὑπάρχεις εἰς τοὺς αἰῶνας. Ἀμήν.

Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα, κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ, ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν, φῶς εἰς ἀποκάλυψιν ἐθνῶν καὶ δόξαν λαοῦ σου Ἰσραήλ.

Τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν (σελ. 13-14). Καί, εἰ μὲν ἐτελέσθη ἡ θεία λειτουργία τοῦ ἱεροῦ Χρυσοστόμου, λέγε τὰ ἑξῆς:

Ἀπολυτίκιον. Ἦχος πλ. δ'.

Ἡ τοῦ στόματός σου, καθάπερ πυρσὸς ἐκλάμψασα χάρις, τὴν οἰκουμένην ἐφώτισεν· ἀφιλαργυρίας τῷ κόσμῳ θησαυροὺς ἐναπέθετο· τὸ ὕψος ἡμῖν τῆς ταπεινοφροσύνης ὑπέδειξεν. Ἀλλὰ σοῖς λόγοις παιδεύων, πάτερ Ἰωάννη Χρυσόστομε, πρέσβευε τῷ Λόγῳ, Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα.





Κοντάκιον. Ἦχος πλ. β'. Τὴν ὑπὲρ ἡμῶν.

Ἐκ τῶν οὐρανῶν, ἐδέξω τὴν θείαν χάριν, καὶ διὰ τῶν σῶν χειλέων πάντας διδάσκεις, προσκυνεῖν ἐν Τριάδι τὸν ἕνα Θεόν, Ἰωάννη Χρυσόστομε, παμμακάριστε ὅσιε· ἐπαξίως εὐφημοῦμέν σε, ὑπάρχεις γὰρ καθηγητής, ὡς τὰ θεῖα σαφῶν.

Καὶ νῦν.

Τῇ πρεσβείᾳ Κύριε, πάντων τῶν ἁγίων, καὶ τῆς Θεοτόκου, τὴν σὴν εἰρήνην δὸς ἡμῖν, καὶ ἐλέησον ἡμᾶς, ὡς μόνος οἰκτίρμων.

Εἰ δὲ ἐτελέσθη ἡ θεία λειτουργία τοῦ Μεγάλου Βασιλείου, λέγε τὰ ἑξῆς:

Ἀπολυτίκιον. Ἦχος α'.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος σου, ὡς δεξαμένην τὸν λόγον σου, δι' οὗ θεοπρεπῶς ἐδογμάτισας, τὴν φύσιν τῶν ὄντων ἐτράνωσας, τὰ τῶν ἀνθρώπων ἤθη κατεκόσμησας, βασίλειον ἱεράτευμα, πάτερ ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Δόξα. Κοντάκιον. Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Ὤφθης βάσις ἄσειστος, τῇ Ἐκκλησίᾳ, νέμων πᾶσιν ἄσυλον, τὴν κυριότητα βροτοῖς, ἐπισφραγίζων σοῖς δόγμασιν, οὐρανοφάντορ, Βασίλειε ὅσιε.

Καὶ νῦν. Τῇ πρεσβείᾳ Κύριε, πάντων τῶν ἁγίων...

Καὶ ἀπόλυσις.

# ΕΥΧΑΙ ΤΗΣ ΤΡΑΠΕΖΗΣ

Πρὸ τοῦ γεύματος.

Πάτερ ἡμῶν... (σελ. 14). Δόξα, καὶ νῦν. Κύριε, ἐλέησον γ΄. Εὐλόγησον.

Ὁ ἱερεύς*.

Χριστὲ ὁ Θεός, εὐλόγησον τὴν βρῶσιν καὶ τὴν πόσιν τῶν δούλων σου, ὅτι ἅγιος εἶ πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Μετὰ τὸ γεῦμα.

Εὐχαριστοῦμέν σοι, Χριστὲ ὁ Θεὸς ἡμῶν, ὅτι ἐνέπλησας ἡμᾶς τῶν ἐπιγείων σου ἀγαθῶν. Μὴ στερήσῃς ἡμᾶς καὶ τῆς ἐπουρανίου σου βασιλείας, ἀλλ' ὡς ἐν μέσῳ τῶν μαθητῶν σου παρεγένου, Σωτήρ, τὴν εἰρήνην διδοὺς αὐτοῖς, ἐλθὲ καὶ μεθ' ἡμῶν καὶ σῶσον ἡμᾶς.

Δόξα, καὶ νῦν. Κύριε, ἐλέησον γ΄. Εὐλόγησον.

Ὁ ἱερεύς*.

Εὐλογητὸς ὁ Θεός, ὁ ἐλεῶν καὶ τρέφων ἡμᾶς ἐκ τῶν πλουσίων αὐτοῦ δωρεῶν τῇ αὐτοῦ χάριτι καὶ φιλανθρωπίᾳ, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

* Μὴ παρόντος ἱερέως λέγομεν Δι' εὐχῶν...





Πρὸ τοῦ δείπνου.

Φάγονται πένητες καὶ ἐμπλησθήσονται καὶ αἰνέσουσι Κύριον οἱ ἐκζητοῦντες αὐτόν· ζήσονται αἱ καρδίαι αὐτῶν εἰς αἰῶνα αἰῶνος.

Δόξα, καὶ νῦν. Κύριε, ἐλέησον γ΄. Εὐλόγησον.

Ὁ ἱερεύς*.

Χριστὲ ὁ Θεός, εὐλόγησον τὴν βρῶσιν καὶ τὴν πόσιν τῶν δούλων σου, ὅτι ἅγιος εἶ πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Μετὰ τὸ δεῖπνον.

Εὔφρανας ἡμᾶς, Κύριε, ἐν τοῖς ποιήμασί σου, καὶ ἐν τοῖς ἔργοις τῶν χειρῶν σου ἠγαλλιασάμεθα. Ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, Κύριε· ἔδωκας εὐφροσύνην εἰς τὰς καρδίας ἡμῶν· ἀπὸ καρποῦ σίτου, οἴνου καὶ ἐλαίου ἐνεπλήσθημεν. Ἐν εἰρήνῃ ἐπὶ τὸ αὐτὸ κοιμηθησόμεθα καὶ ὑπνώσομεν, ὅτι σύ, Κύριε, κατὰ μόνας ἐπ' ἐλπίδι κατῴκησας ἡμᾶς.

Δόξα, καὶ νῦν. Κύριε, ἐλέησον γ΄. Εὐλόγησον.

Ὁ ἱερεύς*.

Μεθ' ἡμῶν ὁ Θεός, τῇ αὐτοῦ χάριτι καὶ φιλανθρωπίᾳ, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

# ΜΗΝΟΛΟΓΙΟΝ

## ΣΕΠΤΕΜΒΡΙΟΣ

1 Ἀρχὴ τῆς Ἰνδίκτου· Συμεὼν τοῦ Στυλίτου. (α, κε)*
2 Μάμαντος μάρτυρος· Ἰωάννου ἀρχιεπ. Κπόλεως τοῦ Νηστευτοῦ.
3 Ἀνθίμου ἐπισκ. Νικομηδείας τοῦ ἱερομάρτυρος.
4 Βαβύλα ἐπισκ. Ἀντιοχείας τοῦ ἱερομάρτυρος· Μωυσέως προφήτου.
5 Ζαχαρίου προφήτου.
6 Ἀνάμνησις τοῦ ἐν Χώναις θαύματος ἀρχαγγέλου Μιχαήλ. (κε)
7 Σώζοντος μάρτυρος.
8 Τὸ γενέσιον τῆς Θεοτόκου. (α, κι)
9 Ἰωακεὶμ καὶ Ἄννης· Σεβηριανοῦ μάρτυρος. (κε)
10 Μηνοδώρας, Μητροδώρας, Νυμφοδώρας τῶν μαρτύρων.
11 Θεοδώρας ὁσίας τῆς ἐν Ἀλεξανδρείᾳ.
12 Αὐτονόμου ἱερομάρτυρος.
13 Κορνηλίου ἱερομάρτυρος τοῦ ἑκατοντάρχου. (κε)
14 Ἡ παγκόσμιος ὕψωσις τοῦ τιμίου Σταυροῦ. (α, ν)
15 Νικήτα μάρτυρος.
16 Εὐφημίας μεγαλομάρτυρος.
17 Σοφίας μάρτυρος καὶ τῶν θυγατέρων αὐτῆς Πίστεως, Ἐλπίδος καὶ Ἀγάπης.
18 Εὐμενίου τοῦ θαυματουργοῦ.
19 Τροφίμου μάρτυρος καὶ τῶν σὺν αὐτῷ.
20 Εὐσταθίου μάρτυρος καὶ τῆς συνοδίας αὐτοῦ. (κε)
21 Κοδράτου ἀποστόλου.
22 Φωκᾶ ἐπισκ. Σινώπης τοῦ ἱερομάρτυρος.

* Ἐξήγησις τῶν ἐν παρενθέσει συμβόλων: α = ἀργία, ν = νηστεία, κε = κατάλυσις οἴνου καὶ ἐλαίου, κι = κατάλυσις ἰχθύος, κπ = κατάλυσις εἰς πάντα.





23 Ἡ σύλληψις τοῦ Προδρόμου. (κε)
24 Θέκλης πρωτομάρτυρος.
25 Εὐφροσύνης ὁσίας.
26 Ἡ μετάστασις Ἰωάννου τοῦ Θεολόγου. (α, κε)
27 Καλλιστράτου μάρτυρος.
28 Χαρίτωνος ὁσίου· Βαροὺχ προφήτου.
29 Κυριακοῦ τοῦ ἀναχωρητοῦ.
30 Γρηγορίου ἐπισκ. Μεγάλης Ἀρμενίας τοῦ ἱερομάρτυρος.

## ΟΚΤΩΒΡΙΟΣ

1 Ἀνανίου ἀποστόλου· Ρωμανοῦ τοῦ Μελῳδοῦ.
2 Κυπριανοῦ ἱερομάρτυρος καὶ Ἰουστίνης παρθενομάρτυρος.
3 Διονυσίου τοῦ Ἀρεοπαγίτου.
4 Ἱεροθέου ἐπισκ. Ἀθηνῶν.
5 Χαριτίνης μάρτυρος.
6 Θωμᾶ ἀποστόλου. (κε)
7 Σεργίου καὶ Βάκχου τῶν μαρτύρων.
8 Πελαγίας ὁσίας.
9 Ἰακώβου ἀποστόλου τοῦ Ἀλφαίου.
10 Εὐλαμπίου καὶ Εὐλαμπίας τῶν μαρτύρων.
11 Φιλίππου ἐκ τῶν ἑπτὰ διακόνων· Νεκταρίου ἀρχιεπ. Κπόλεως.
12 Πρόβου μάρτυρος καὶ τῶν σὺν αὐτῷ.
13 Κάρπου μάρτυρος καὶ τῶν σὺν αὐτῷ.
14 Ναζαρίου μάρτυρος καὶ τῶν σὺν αὐτῷ.
15 Λουκιανοῦ ἱερομάρτυρος.
16 Λογγίνου μάρτυρος τοῦ ἑκατοντάρχου.
17 Ὠσηὲ προφήτου· Ἀνδρέου ὁσιομάρτυρος τοῦ ἐν Κρίσει.
18 Λουκᾶ ἀποστόλου καὶ εὐαγγελιστοῦ. (κε)
19 Ἰωὴλ προφήτου.
20 Ἀρτεμίου μάρτυρος· Γερασίμου τοῦ ἐν Κεφαλληνίᾳ.
21 Ἱλαρίωνος τοῦ μεγάλου.
22 Ἀβερκίου τοῦ θαυματουργοῦ.
23 Ἰακώβου ἀποστόλου τοῦ ἀδελφοθέου. (κε)
24 Ἀρέθα μεγαλομάρτυρος καὶ τῶν σὺν αὐτῷ.

25 Μαρκιανοῦ καὶ Μαρτυρίου τῶν μαρτύρων.
26 Ἁγίου Δημητρίου. (α, κε)
27 Νέστορος μάρτυρος.
28 Στεφάνου τοῦ Σαββαΐτου· τῆς Ἁγίας Σκέπης. (κε)
29 Ἀναστασίας τῆς Ρωμαίας.
30 Ζηνοβίου καὶ Ζηνοβίας τῶν μαρτύρων.
31 Στάχυος, Ἀπελλοῦ, Ἀμπλίου, Οὐρβανοῦ, Ναρκίσσου καὶ Ἀριστοβούλου ἐκ τῶν 70 ἀποστόλων· Ἐπιμάχου μάρτυρος.

## ΝΟΕΜΒΡΙΟΣ

1 Κοσμᾶ καὶ Δαμιανοῦ τῶν ἀναργύρων. (κε)
2 Ἀκινδύνου μάρτυρος καὶ τῶν σὺν αὐτῷ.
3 Ἀκεψιμᾶ, Ἰωσὴφ καὶ Ἀειθαλᾶ τῶν μαρτύρων.
4 Ἰωαννικίου τοῦ μεγάλου.
5 Γαλακτίωνος καὶ Ἐπιστήμης τῶν μαρτύρων.
6 Παύλου ἀρχιεπ. Κπόλεως τοῦ ὁμολογητοῦ.
7 Λαζάρου τοῦ θαυματουργοῦ.
8 Ἡ σύναξις τῶν Ἀσωμάτων. (α, κε)
9 Ὀνησιφόρου καὶ Πορφυρίου τῶν μαρτύρων· Ματρώνης ὁσίας· Νεκταρίου Πενταπόλεως.
10 Ὀλυμπᾶ, Ροδίωνος, Ἐράστου, Σωσιπάτρου καὶ Κουάρτου ἐκ τῶν 70 ἀποστόλων· Ἀρσενίου ὁσίου τοῦ Καππαδόκου.
11 Μηνᾶ, Βίκτωρος καὶ Βικεντίου τῶν μαρτύρων.
12 Ἰωάννου ἀρχ. Ἀλεξανδρείας τοῦ Ἐλεήμονος· Νείλου ὁσίου. (κε)
13 Ἰωάννου ἀρχιεπ. Κπόλεως τοῦ Χρυσοστόμου. (α, κε)
14 Φιλίππου ἀποστόλου. (α, κι)
15 Γουρία, Σαμωνᾶ καὶ Ἀβίβου τῶν μαρτύρων.
16 Ματθαίου ἀποστόλου καὶ εὐαγγελιστοῦ. (κε)
17 Γρηγορίου ἐπισκ. Νεοκαισαρείας τοῦ θαυματουργοῦ.
18 Πλάτωνος καὶ Ρωμανοῦ τῶν μαρτύρων.
19 Βαρλαὰμ μάρτυρος· Ἀβδιοὺ προφήτου.
20 Γρηγορίου τοῦ Δεκαπολίτου.
21 Τὰ Εἰσόδια τῆς Θεοτόκου. (α, κι)
22 Φιλήμονος καὶ Ἀπφίας τῶν ἀποστόλων.





23 Ἀμφιλοχίου ἐπισκ. Ἰκονίου· Γρηγορίου ἐπισκ. Ἀκραγαντίνων.
24 Κλήμεντος Ρώμης καὶ Πέτρου Ἀλεξανδρείας τῶν ἱερομαρτύρων.
25 Αἰκατερίνης μεγαλομάρτυρος. (α, κε)
26 Ἀλυπίου τοῦ Κιονίτου· Στυλιανοῦ ὁσίου.
27 Ἰακώβου μάρτυρος τοῦ Πέρσου.
28 Στεφάνου ὁσιομάρτυρος τοῦ νέου· Εἰρηνάρχου μάρτυρος.
29 Παραμόνου καὶ Φιλουμένου τῶν μαρτύρων.
30 Ἀνδρέου ἀποστόλου τοῦ Πρωτοκλήτου. (α, κε)

## ΔΕΚΕΜΒΡΙΟΣ

1 Ναοὺμ προφήτου.
2 Ἀββακοὺμ προφήτου.
3 Σοφονίου προφήτου.
4 Βαρβάρας μάρτυρος· Ἰωάννου τοῦ Δαμασκηνοῦ. (κε)
5 Σάββα τοῦ ἡγιασμένου. (α, κε)
6 Ἁγίου Νικολάου. (α, κε)
7 Ἀμβροσίου ἐπισκ. Μεδιολάνων.
8 Παταπίου ὁσίου.
9 Ἡ σύλληψις τῆς ἁγίας Ἄννης. (α, κε)
10 Μηνᾶ, Ἑρμογένους καὶ Εὐγράφου τῶν μαρτύρων.
11 Δανιὴλ τοῦ Στυλίτου.
12 Σπυρίδωνος ἐπισκ. Τριμυθοῦντος. (α, κε)
13 Εὐστρατίου, Αὐξεντίου, Εὐγενίου, Μαρδαρίου καὶ Ὀρέστου τῶν μαρτύρων· Λουκίας παρθενομάρτυρος.
14 Θύρσου μάρτυρος καὶ τῶν σὺν αὐτῷ.
15 Ἐλευθερίου ἱερομάρτυρος. (κε)
16 Ἀγγαίου προφήτου.
17 Δανιὴλ προφήτου καὶ τῶν τριῶν Παίδων· Διονυσίου ἐπισκ. Αἰγίνης. (κε)
18 Σεβαστιανοῦ μάρτυρος καὶ τῶν σὺν αὐτῷ.
19 Βονιφατίου μάρτυρος.
20 Ἰγνατίου ἱερομάρτυρος τοῦ Θεοφόρου. (κε)
21 Ἰουλιανῆς μάρτυρος.
22 Ἀναστασίας τῆς Φαρμακολυτρίας.

23 Τῶν δέκα μαρτύρων τῶν ἐν Κρήτῃ.
24 Εὐγενίας ὁσιομάρτυρος.
25 Ἡ κατὰ σάρκα γέννησις τοῦ Κυρίου. (α, κπ)
26 Ἡ σύναξις τῆς Θεοτόκου· Εὐθυμίου ἐπισκ. Σάρδεων. (α, κπ)
27 Στεφάνου πρωτομάρτυρος. (α, κπ)
28 Τῶν δισμυρίων μαρτύρων τῶν ἐν Νικομηδείᾳ.
29 Τῶν ἁγίων νηπίων τῶν ὑπὸ Ἡρῴδου ἀναιρεθέντων.
30 Ἀνυσίας ὁσιομάρτυρος.
31 Μελάνης τῆς Ρωμαίας.

## ΙΑΝΟΥΑΡΙΟΣ

1 Ἡ περιτομὴ τοῦ Κυρίου· Βασιλείου τοῦ μεγάλου. (α, κπ)
2 Σιλβέστρου πάπα Ρώμης.
3 Γορδίου μάρτυρος· Μαλαχίου προφήτου.
4 Ἡ σύναξις τῶν 70 ἀποστόλων.
5 Θεοπέμπτου καὶ Θεωνᾶ τῶν μαρτύρων· Συγκλητικῆς ὁσίας. (ν)
6 Τὰ ἅγια Θεοφάνεια τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. (α, κπ)
7 Ἡ σύναξις τοῦ Προδρόμου. (α, κι)
8 Δομνίκης ὁσίας.
9 Πολυεύκτου μάρτυρος.
10 Γρηγορίου ἐπισκ. Νύσσης.
11 Θεοδοσίου τοῦ Κοινοβιάρχου.
12 Τατιανῆς μάρτυρος.
13 Ἑρμύλου καὶ Στρατονίκου τῶν μαρτύρων.
14 Τῶν ἐν Σινᾶ καὶ Ραϊθῷ ἀναιρεθέντων ὁσίων.
15 Ἰωάννου τοῦ Καλυβίτου.
16 Ἡ προσκύνησις τῆς ἁλύσεως ἀποστόλου Πέτρου. (κε)
17 Ἁγίου Ἀντωνίου. (α, κε)
18 Ἀθανασίου καὶ Κυρίλλου, πατριαρχῶν Ἀλεξανδρείας. (α, κε)
19 Μακαρίου ὁσίου τοῦ Αἰγυπτίου.
20 Εὐθυμίου τοῦ μεγάλου. (α, κε)
21 Μαξίμου τοῦ ὁμολογητοῦ.
22 Τιμοθέου ἀποστόλου· Ἀναστασίου ὁσιομάρτυρος Πέρσου. (κε)
23 Κλήμεντος ἱερομάρτυρος, ἐπισκ. Ἀγκύρας.





24 Ξένης ὁσίας.
25 Γρηγορίου τοῦ Θεολόγου. (α, κε)
26 Ξενοφῶντος ὁσίου καὶ τῶν σὺν αὐτῷ.
27 Ἀνακομιδὴ τοῦ λειψάνου Ἰωάννου Χρυσοστόμου. (α, κε)
28 Ἐφραὶμ ὁσίου τοῦ Σύρου.
29 Ἀνακομιδὴ τῶν λειψάνων Ἰγνατίου τοῦ Θεοφόρου.
30 Τῶν τριῶν Ἱεραρχῶν. (α, κε)
31 Κύρου καὶ Ἰωάννου τῶν ἀναργύρων.

## ΦΕΒΡΟΥΑΡΙΟΣ

1 Τρύφωνος μάρτυρος.
2 Ἡ Ὑπαπαντὴ τοῦ Κυρίου. (α, κι)
3 Συμεὼν τοῦ Θεοδόχου καὶ Ἄννης τῆς προφήτιδος.
4 Ἰσιδώρου τοῦ Πηλουσιώτου.
5 Ἀγάθης μάρτυρος.
6 Φωτίου πατρ. Κπόλεως· Βουκόλου ἐπισκ. Σμύρνης.
7 Παρθενίου ἐπισκ. Λαμψάκου.
8 Θεοδώρου τοῦ Στρατηλάτου· Ζαχαρίου προφήτου. (κε)
9 Νικηφόρου μάρτυρος.
10 Χαραλάμπους ἱερομάρτυρος. (α, κε)
11 Βλασίου ἱερομάρτυρος· Θεοδώρας αὐγούστης. (κε)
12 Μελετίου ἀρχιεπ. Ἀντιοχείας.
13 Μαρτινιανοῦ ὁσίου.
14 Αὐξεντίου ὁσίου.
15 Ὀνησίμου ἀποστόλου.
16 Παμφίλου μάρτυρος καὶ τῶν σὺν αὐτῷ.
17 Θεοδώρου τοῦ Τήρωνος. (κε)
18 Λέοντος πάπα Ρώμης.
19 Ἀρχίππου ἀποστόλου.
20 Λέοντος ἐπισκ. Κατάνης.
21 Τιμοθέου τοῦ ἐν Συμβόλοις· Εὐσταθίου Ἀντιοχείας.
22 Εὕρεσις τῶν λειψάνων τῶν ἐν τοῖς Εὐγενίου μαρτύρων.
23 Πολυκάρπου ἐπισκ. Σμύρνης.
24 Ἡ α' καὶ β' εὕρεσις τῆς τιμίας κεφαλῆς Προδρόμου. (κε)

25 Ταρασίου ἀρχιεπ. Κπόλεως.
26 Πορφυρίου ἐπισκ. Γάζης.
27 Προκοπίου τοῦ ὁμολογητοῦ.
28 Βασιλείου τοῦ ὁμολογητοῦ.
29 Κασσιανοῦ ὁσίου τοῦ Ρωμαίου.

## ΜΑΡΤΙΟΣ

1 Εὐδοκίας ὁσιομάρτυρος.
2 Ἡσυχίου μάρτυρος· Θεοδότου Κυρηνείας.
3 Εὐτροπίου μάρτυρος καὶ τῶν σὺν αὐτῷ.
4 Γερασίμου ὁσίου τοῦ ἐν Ἰορδάνῃ.
5 Κόνωνος μάρτυρος.
6 Τῶν ἐν Ἀμορίῳ 42 μαρτύρων.
7 Τῶν ἐν Χερσῶνι ἐπισκοπησάντων ἱερομαρτύρων.
8 Θεοφυλάκτου ἐπισκ. Νικομηδείας.
9 Τῶν ἁγίων 40 μεγάλων μαρτύρων. (α, κε)
10 Κοδράτου μάρτυρος.
11 Σωφρονίου ἀρχιεπ. Ἱεροσολύμων.
12 Θεοφάνους τοῦ ὁμολογητοῦ.
13 Ἀνακομιδὴ τῶν λειψάνων Νικηφόρου Κπόλεως.
14 Βενεδίκτου ὁσίου.
15 Ἀγαπίου μάρτυρος.
16 Σαβίνου μάρτυρος.
17 Ἀλεξίου τοῦ ἀνθρώπου τοῦ Θεοῦ.
18 Κυρίλλου ἀρχιεπ. Ἱεροσολύμων.
19 Χρυσάνθου καὶ Δαρείας τῶν μαρτύρων.
20 Τῶν ἐν τῇ μονῇ ἁγίου Σάββα ἀναιρεθέντων ὁσίων.
21 Ἰακώβου τοῦ ὁμολογητοῦ.
22 Βασιλείου ἱερομάρτυρος.
23 Νίκωνος ὁσιομάρτυρος.
24 Ζαχαρίου ὁσίου.
25 Ὁ Εὐαγγελισμὸς τῆς Θεοτόκου. (α, κι)
26 Ἡ σύναξις τοῦ ἀρχαγγέλου Γαβριήλ. (κε)
27 Ματρώνης μάρτυρος τῆς ἐν Θεσσαλονίκῃ.





28 Ἱλαρίωνος ὁσίου τοῦ νέου, ἡγουμένου μονῆς Πελεκητῆς.
29 Μάρκου ἐπισκ. Ἀρεθουσίων.
30 Ἰωάννου τῆς Κλίμακος.
31 Ὑπατίου ἐπισκ. Γαγγρῶν τοῦ ἱερομάρτυρος.

## ΑΠΡΙΛΙΟΣ

1 Μαρίας ὁσίας τῆς Αἰγυπτίας.
2 Τίτου τοῦ θαυματουργοῦ.
3 Νικήτα ὁσίου· Ἰωσὴφ τοῦ ὑμνογράφου.
4 Γεωργίου ὁσίου τοῦ ἐν τῷ Μαλεῷ.
5 Κλαυδιανοῦ μάρτυρος καὶ τῶν σὺν αὐτῷ.
6 Εὐτυχίου ἀρχιεπ. Κπόλεως.
7 Γεωργίου Μυτιλήνης.
8 Ἡρωδίωνος, Ἀγάβου, Ρούφου, Ἀσυγκρίτου, Φλέγοντος καὶ Ἑρμοῦ ἐκ τῶν 70 ἀποστόλων.
9 Εὐψυχίου μάρτυρος.
10 Τερεντίου μάρτυρος καὶ τῶν σὺν αὐτῷ.
11 Ἀντίπα ἐπισκ. Περγάμου τοῦ ἱερομάρτυρος.
12 Βασιλείου ἐπισκ. Παρίου.
13 Μαρτίνου πάπα Ρώμης.
14 Ἀριστάρχου, Πούδη καὶ Τροφίμου ἐκ τῶν 70 ἀποστόλων.
15 Κρήσκεντος μάρτυρος.
16 Ἀγάπης, Εἰρήνης καὶ Χιονίας τῶν μαρτύρων.
17 Συμεὼν ἱερομάρτυρος τοῦ ἐν Περσίδι.
18 Ἰωάννου ὁσίου.
19 Παφνουτίου ἱερομάρτυρος.
20 Θεοδώρου ὁσίου τοῦ Τριχινᾶ.
21 Ἰανουαρίου ἱερομάρτυρος.
22 Θεοδώρου τοῦ Συκεώτου.
23 Ἁγίου Γεωργίου. (α, κε)
24 Σάββα μάρτυρος τοῦ στρατηλάτου· Ἐλισάβετ τῆς θαυματουργοῦ.
25 Μάρκου ἀποστόλου καὶ εὐαγγελιστοῦ. (κε)
26 Βασιλέως ἱερομάρτυρος.
27 Συμεὼν ἱερομάρτυρος, συγγενοῦς τοῦ Κυρίου.

28 Τῶν ἐν Κυζίκῳ ἐννέα μαρτύρων.
29 Ἰάσωνος καὶ Σωσιπάτρου τῶν ἀποστόλων.
30 Ἰακώβου ἀποστόλου, ἀδελφοῦ Ἰωάννου τοῦ Θεολόγου. (κε)

## ΜΑΪΟΣ

1 Ἱερεμίου προφήτου.
2 Ἀνακομιδὴ τῶν λειψάνων ἁγίου Ἀθανασίου. (κε)
3 Τιμοθέου καὶ Μαύρας τῶν μαρτύρων.
4 Πελαγίας μάρτυρος.
5 Εἰρήνης μεγαλομάρτυρος.
6 Δικαίου Ἰὼβ τοῦ πολυάθλου.
7 Ἀνάμνησις τοῦ φανέντος ἐν οὐρανῷ σημείου τοῦ Σταυροῦ.
8 Ἰωάννου τοῦ Θεολόγου. (α, κε)
9 Ἡσαΐου προφήτου.
10 Σίμωνος ἀποστόλου τοῦ Ζηλωτοῦ.
11 Μωκίου ἱερομάρτυρος· Κυρίλλου καὶ Μεθοδίου.
12 Ἐπιφανίου ἐπισκ. Κωνσταντίας τῆς Κύπρου.
13 Γλυκερίας μάρτυρος.
14 Ἰσιδώρου μάρτυρος τοῦ ἐν Χίῳ· Θεράποντος τοῦ θαυματουργοῦ.
15 Παχωμίου τοῦ μεγάλου. (κε)
16 Θεοδώρου τοῦ ἡγιασμένου.
17 Ἀνδρονίκου καὶ Ἰουνίας τῶν ἀποστόλων.
18 Πέτρου, Διονυσίου καὶ τῶν σὺν αὐτοῖς μαρτύρων.
19 Πατρικίου ἐπισκ. Προύσσης.
20 Θαλλελαίου μάρτυρος.
21 Κωνσταντίνου καὶ Ἑλένης. (α, κε)
22 Βασιλίσκου μάρτυρος.
23 Μιχαὴλ ἐπισκ. Συννάδων.
24 Συμεὼν ὁσίου τοῦ ἐν τῷ Θαυμαστῷ Ὄρει.
25 Ἡ γ΄ εὕρεσις τῆς τιμίας κεφαλῆς τοῦ Προδρόμου. (κε)
26 Κάρπου, ἑνὸς τῶν 70 ἀποστόλων.
27 Θεράποντος καὶ Ἑλλαδίου τῶν ἱερομαρτύρων.
28 Εὐτυχοῦς Μελιτηνῆς.
29 Θεοδοσίας μάρτυρος.





30 Ἰσαακίου ὁσίου, ἡγουμένου μονῆς Δαλμάτων.
31 Ἑρμείου μάρτυρος.

## ΙΟΥΝΙΟΣ

1 Ἰουστίνου τοῦ φιλοσόφου καὶ μάρτυρος.
2 Νικηφόρου ἀρχιεπ. Κπόλεως τοῦ ὁμολογητοῦ.
3 Λουκιλλιανοῦ μάρτυρος.
4 Μητροφάνους ἀρχιεπ. Κπόλεως.
5 Δωροθέου ἐπισκ. Τύρου.
6 Ἱλαρίωνος ὁσίου τοῦ νέου, ἡγουμένου μονῆς Δαλμάτων.
7 Θεοδότου Ἀγκύρας.
8 Ἀνακομιδὴ λειψάνων Θεοδώρου τοῦ Στρατηλάτου. (κε)
9 Κυρίλλου ἀρχιεπ. Ἀλεξανδρείας.
10 Ἀλεξάνδρου καὶ Ἀντωνίνης τῶν μαρτύρων.
11 Βαρθολομαίου καὶ Βαρνάβα τῶν ἀποστόλων. (κε)
12 Ὀνουφρίου τοῦ Αἰγυπτίου· Πέτρου τοῦ Ἀθωνίτου.
13 Ἀκυλίνης μάρτυρος.
14 Ἐλισσαίου προφήτου.
15 Ἀμὼς προφήτου.
16 Τύχωνος ἐπισκ. Ἀμαθοῦντος.
17 Μανουήλ, Σαβὲλ καὶ Ἰσμαὴλ τῶν μαρτύρων.
18 Λεοντίου μάρτυρος.
19 Ἰούδα ἀποστόλου, ἀδελφοῦ τοῦ Κυρίου.
20 Μεθοδίου ἐπισκ. Πατάρων.
21 Ἰουλιανοῦ μάρτυρος τοῦ Ταρσέως.
22 Εὐσεβίου ἐπισκ. Σαμοσάτων τοῦ ἱερομάρτυρος.
23 Ἀγριππίνης μάρτυρος.
24 Ἡ γέννησις τοῦ Προδρόμου. (α, κι)
25 Φεβρωνίας μάρτυρος.
26 Δαβὶδ ὁσίου τοῦ ἐν Θεσσαλονίκῃ.
27 Σαμψὼν τοῦ ξενοδόχου.
28 Ἀνακομιδὴ τῶν λειψάνων Κύρου καὶ Ἰωάννου τῶν ἀναργύρων.
29 Πέτρου καὶ Παύλου τῶν ἀποστόλων. (α, κι)
30 Ἡ σύναξις τῶν δώδεκα ἀποστόλων. (α, κε)

## ΙΟΥΛΙΟΣ

1 Κοσμᾶ καὶ Δαμιανοῦ τῶν ἀναργύρων. (χε)
2 Ἡ κατάθεσις τῆς ἐσθῆτος τῆς Θεοτόκου ἐν Βλαχέρναις. (χε)
3 Ἀνατολίου ἀρχιεπ. Κπόλεως· Ὑακίνθου μάρτυρος.
4 Ἀνδρέου Κρήτης.
5 Ἀθανασίου τοῦ ἐν Ἄθῳ.
6 Σισώη τοῦ μεγάλου.
7 Κυριακῆς μάρτυρος.
8 Προκοπίου μεγαλομάρτυρος.
9 Παγκρατίου ἐπισκ. Ταυρομενίας· Διονυσίου καὶ Μητροφάνους τῶν ἐν Ἄθῳ.
10 Τῶν ἐν Νικοπόλει τῆς Ἀρμενίας 45 μαρτύρων.
11 Εὐφημίας μεγαλομάρτυρος.
12 Πρόκλου καὶ Ἱλαρίου τῶν μαρτύρων.
13 Ἡ σύναξις τοῦ ἀρχαγγέλου Γαβριήλ.
14 Ἀκύλα ἀποστόλου· Νικοδήμου ὁσίου τοῦ Ἁγιορείτου.
15 Κηρύκου καὶ Ἰουλίττης τῶν μαρτύρων.
16 Ἀθηνογένους ἱερομάρτυρος.
17 Μαρίνης μεγαλομάρτυρος. (χε)
18 Αἰμιλιανοῦ μάρτυρος.
19 Δίου ὁσίου· Μακρίνης ὁσίας.
20 Ἠλιοὺ προφήτου τοῦ Θεσβίτου. (α, χε)
21 Συμεὼν τοῦ διὰ Χριστὸν σαλοῦ καὶ Ἰωάννου.
22 Μαρίας τῆς Μαγδαληνῆς. (χε)
23 Φωκᾶ ἱερομάρτυρος· Ἰεζεκιὴλ προφήτου.
24 Χριστίνης μάρτυρος.
25 Ἡ κοίμησις τῆς ἁγίας Ἄννης. (χε)
26 Ἁγίας Παρασκευῆς. (χε)
27 Ἁγίου Παντελεήμονος. (α, χε)
28 Προχόρου, Τίμωνος καὶ Παρμενᾶ τῶν ἀποστόλων.
29 Καλλινίκου καὶ Θεοδότης τῶν μαρτύρων.
30 Σίλα, Σιλουανοῦ, Κρήσκεντος, Ἐπαινετοῦ καὶ Ἀνδρονίκου ἐκ τῶν 70 ἀποστόλων.
31 Εὐδοκίμου τοῦ δικαίου.





## ΑΥΓΟΥΣΤΟΣ

1 Ἡ πρόοδος τοῦ τιμίου Σταυροῦ· τῶν ἁγίων Μακκαβαίων.
2 Ἀνακομιδὴ τῶν λειψάνων ἁγίου Στεφάνου.
3 Ἰσαακίου, Δαλμάτου καὶ Φαύστου τῶν ὁσίων.
4 Ἀνακομιδὴ τῶν λειψάνων ὁσιομάρτυρος Εὐδοκίας· τῶν ἐν Ἐφέσῳ ἑπτὰ παίδων.
5 Εὐσιγνίου μάρτυρος.
6 Ἡ Μεταμόρφωσις τοῦ Σωτῆρος. (α, κι)
7 Δομετίου ὁσιομάρτυρος.
8 Αἰμιλιανοῦ ἐπισκ. Κυζίκου.
9 Ματθία ἀποστόλου.
10 Λαυρεντίου μάρτυρος τοῦ ἀρχιδιακόνου.
11 Εὔπλου μάρτυρος.
12 Φωτίου καὶ Ἀνικήτου τῶν μαρτύρων.
13 Μετάθεσις τοῦ λειψάνου Μαξίμου τοῦ ὁμολογητοῦ.
14 Μιχαίου προφήτου.
15 Ἡ Κοίμησις τῆς Θεοτόκου. (α, κι)
16 Ἀνακομιδὴ τοῦ ἁγίου Μανδηλίου.
17 Μύρωνος μάρτυρος.
18 Φλώρου καὶ Λαύρου τῶν μαρτύρων.
19 Ἀνδρέου μάρτυρος τοῦ Στρατηλάτου.
20 Σαμουὴλ προφήτου.
21 Θαδδαίου ἀποστόλου.
22 Ἀγαθονίκου μάρτυρος.
23 Λούππου μάρτυρος.
24 Εὐτυχοῦς ἱερομάρτυρος· Κοσμᾶ τοῦ Αἰτωλοῦ.
25 Ἐπάνοδος τοῦ λειψάνου Βαρθολομαίου τοῦ ἀποστόλου.
26 Ἀδριανοῦ καὶ Ναταλίας τῶν μαρτύρων.
27 Ποιμένος ὁσίου.
28 Μωυσέως ὁσίου τοῦ Αἰθίοπος.
29 Ἡ ἀποτομὴ τῆς τιμίας κεφαλῆς τοῦ Προδρόμου. (α, ν)
30 Ἀλεξάνδρου, Ἰωάννου καὶ Παύλου, πατριαρχῶν Κπόλεως.
31 Ἡ κατάθεσις τῆς τιμίας ζώνης τῆς Θεοτόκου. (χε)

## ΕΡΜΗΝΕΙΑ
## ΠΕΡΙ ΤΟΥ ΠΩΣ ΔΕΙ ΣΤΙΧΟΛΟΓΕΙΣΘΑΙ ΤΟ ΨΑΛΤΗΡΙΟΝ ΕΙΣ ΟΛΟΝ ΤΟΝ ΕΝΙΑΥΤΟΝ

α΄) Ἀπὸ τῆς 20ῆς τοῦ Σεπτεμβρίου μέχρι τοῦ Σαββάτου τῆς Ἀπόκρεω στιχολογοῦνται καθ' ἑκάστην τρία καθίσματα τοῦ Ψαλτηρίου, ἐν δὲ τῷ Ἑσπερινῷ τὰ πρὸς Κύριον.

| Ἡμέραι | Καθίσματα τοῦ Ὄρθρου | | | Ἑσπερινὸς |
|---|---|---|---|---|
| | Κάθ. Α΄ | Κάθ. Β΄ | Κάθ. Γ΄ | |
| Κυριακὴ | β΄ | γ΄ | ὁ ἄμωμος | - |
| Δευτέρα | δ΄ | ε΄ | ς΄ | ιη΄ |
| Τρίτη | ζ΄ | η΄ | θ΄ | ιη΄ |
| Τετάρτη | ι΄ | ια΄ | ιβ΄ | ιη΄ |
| Πέμπτη | ιγ΄ | ιδ΄ | ιε΄ | ιη΄ |
| Παρασκευὴ | ιθ΄ | κ΄ | - | ιη΄ |
| Σάββατον | ις΄ | ιζ΄ | - | α΄ |

β΄) Τῇ Μεγάλῃ Τεσσαρακοστῇ τελειοῦται τὸ Ψαλτήριον δὶς καθ' ἑκάστην ἑβδομάδα οὕτως.

| Ἡμέραι | Καθ. Ὄρθρου | | | Καθίσματα τῶν Ὡρῶν | | | | Ἑσπερινὸς |
|---|---|---|---|---|---|---|---|---|
| | Α΄ | Β΄ | Γ΄ | Ὥρα α΄ | Ὥρα γ΄ | Ὥρα ς΄ | Ὥρα θ΄ | |
| Κυρ. | β΄ | γ΄ | ιζ΄ | - | - | - | - | - |
| Δευτ. | δ΄ | ε΄ | ς΄ | - | ζ΄ | η΄ | θ΄ | ιη΄ |
| Τρίτη | ι΄ | ια΄ | ιβ΄ | ιγ΄ | ιδ΄ | ιε΄ | ις΄ | ιη΄ |
| Τετ. | ιθ΄ | κ΄ | α΄ | β΄ | γ΄ | δ΄ | ε΄ | ιη΄ |
| Πέμ. | ς΄ | ζ΄ | η΄ | θ΄ | ι΄ | ια΄ | ιβ΄ | ιη΄ |
| Παρ. | ιγ΄ | ιδ΄ | ιε΄ | - | ιθ΄ | κ΄ | - | ιη΄ |
| Σάβ. | ις΄ | ιζ΄ | - | - | - | - | - | α΄ |

Εἰς δὲ τὴν ε΄ ἑβδομάδα τῆς ἁγίας Τεσσαρακοστῆς οὕτως.



| Ἡμέραι | Καθ. Ὄρθρου | | | Καθίσματα τῶν Ὡρῶν | | | | Ἑσπερινὸς |
|---|---|---|---|---|---|---|---|---|
| | Α΄ | Β΄ | Γ΄ | Ὥρα α΄ | Ὥρα γ΄ | Ὥρα ς΄ | Ὥρα θ΄ | |
| Κυρ. | β΄ | γ΄ | ιζ΄ | - | - | - | - | - |
| Δευτ. | δ΄ | ε΄ | ς΄ | - | ζ΄ | η΄ | θ΄ | ι΄ |
| Τρίτη | ια΄ | ιβ΄ | ιγ΄ | ιδ΄ | ιε΄ | ις΄ | ιη΄ | ιθ΄ |
| Τετ. | κ΄ | α΄ | β΄ | γ΄ | δ΄ | ε΄ | ς΄ | ζ΄ |
| Πέμ. | η΄ | - | - | - | θ΄ | ι΄ | ια΄ | ιβ΄ |
| Παρ. | ιγ΄ | ιδ΄ | ιε΄ | - | ιθ΄ | κ΄ | - | ιη΄ |
| Σάβ. | ις΄ | ιζ΄ | - | - | - | - | - | α΄ |

Ὅταν τύχῃ ὁ Εὐαγγελισμὸς τῇ Πέμπτῃ τῆς ε΄ ἑβδομάδος, τότε ὁ Μέγας Κανὼν μετατίθεται τῇ Τρίτῃ τῆς αὐτῆς ἑβδομάδος. Τὸ δὲ Ψαλτήριον στιχολογεῖται οὕτως.

| Ἡμέραι | Καθ. Ὄρθρου | | | Καθίσματα τῶν Ὡρῶν | | | | Ἑσπερινὸς |
|---|---|---|---|---|---|---|---|---|
| | Α΄ | Β΄ | Γ΄ | Ὥρα α΄ | Ὥρα γ΄ | Ὥρα ς΄ | Ὥρα θ΄ | |
| Κυρ. | β΄ | γ΄ | ιζ΄ | - | - | - | - | - |
| Δευτ. | δ΄ | ε΄ | ς΄ | ζ΄ | η΄ | θ΄ | ι΄ | ια΄ |
| Τρίτη | ιβ΄ | - | - | - | ιγ΄ | ιδ΄ | ιε΄ | ις΄ |
| Τετ. | ιθ΄ | κ΄ | α΄ | β΄ | γ΄ | δ΄ | ε΄ | - |
| Πέμ. | ς΄ | ζ΄ | η΄ | θ΄ | ι΄ | ια΄ | ιβ΄ | - |
| Παρ. | ιγ΄ | ιδ΄ | ιε΄ | - | ιθ΄ | κ΄ | - | ιη΄ |
| Σάβ. | ις΄ | ιζ΄ | - | - | - | - | - | α΄ |

γ΄) Τῇ ἁγίᾳ καὶ μεγάλῃ Ἑβδομάδι πληροῦται ἅπαξ τὸ Ψαλ-

| Ἡμέραι | Καθ. Ὄρθρου | | | Καθίσματα τῶν Ὡρῶν | | | | Ἑσπερινὸς |
|---|---|---|---|---|---|---|---|---|
| | Α΄ | Β΄ | Γ΄ | Ὥρα α΄ | Ὥρα γ΄ | Ὥρα ς΄ | Ὥρα θ΄ | |
| Κυρ. | β΄ | γ΄ | πολυέλ. | - | - | - | - | - |
| Δευτ. | δ΄ | ε΄ | ς΄ | - | ζ΄ | η΄ | - | ιη΄ |
| Τρίτη | θ΄ | ι΄ | ια΄ | - | ιβ΄ | ιγ΄ | - | ιη΄ |
| Τετ. | ιδ΄ | ιε΄ | ις΄ | - | ιθ΄ | κ΄ | - | ιη΄ |

τήριον μέχρι τῆς μεγάλης Τετάρτης, ἀπὸ δὲ τῆς μεγάλης Πέμπτης μέχρι τοῦ Σαββάτου τῆς Διακαινησίμου σχολάζει. Τῷ δὲ μεγάλῳ Σαββάτῳ εἰς τὸν ὄρθρον ἀναγινώσκεται ὁ ἄμωμος.

δ´) Ἀπὸ δὲ τῆς Κυριακῆς τοῦ ἁγίου ἀποστόλου Θωμᾶ μέχρι τῆς 19ης τοῦ Σεπτεμβρίου στιχολογεῖται τὸ Ψαλτήριον ἅπαξ καθ' ἑκάστην ἑβδομάδα· καὶ ἐν μὲν τῷ Ὄρθρῳ δύο καθίσματα, ἐν δὲ τῷ Ἑσπερινῷ ἕν.

| Ἡμέραι | Καθίσματα τοῦ Ὄρθρου | | | Ἑσπερινὸς |
|---|---|---|---|---|
| | Κάθ. Α´ | Κάθ. Β´ | Ὁ ἄμωμος | |
| Κυριακὴ | β´ | γ´ | ιζ´ | - |
| Δευτέρα | δ´ | ε´ | - | ς´ |
| Τρίτη | ζ´ | η´ | - | θ´ |
| Τετάρτη | ι´ | ια´ | - | ιβ´ |
| Πέμπτη | ιγ´ | ιδ´ | - | ιε´ |
| Παρασκευὴ | ιθ´ | κ´ | - | ιη´ |
| Σάββατον | ις´ | ιζ´ | - | α´ |

ε´) Γίνωσκε ὅτι ἐν ὅλαις ταῖς Κυριακαῖς στιχολογία ἐν τῷ Ἑσπερινῷ οὐ γίνεται· ὡσαύτως καὶ εἰς τὰς δεσποτικὰς ἑορτάς, ἐν αἷς δηλονότι γίνεται ἀγρυπνία.

## ΚΑΘΙΣΜΑΤΑ ΤΟΥ ΨΑΛΤΗΡΙΟΥ

| Κάθ. | Ψαλμ. | Κάθ. | Ψαλμ. | Κάθ. | Ψαλμ. |
|---|---|---|---|---|---|
| α´ | α´-η´ | η´ | νε´-ξγ´ | ιε´ | ρε´-ρη´ |
| β´ | θ´-ις´ | θ´ | ξδ´-ξθ´ | ις´ | ρθ´-ριζ´ |
| γ´ | ιζ´-κγ´ | ι´ | ο´-ος´ | ιζ´ | ριη´ |
| δ´ | κδ´-λα´ | ια´ | οζ´-πδ´ | ιη´ | ριθ´-ρλγ´ |
| ε´ | λβ´-λς´ | ιβ´ | πε´-ϟ´ | ιθ´ | ρλδ´-ρμβ´ |
| ς´ | λζ´-με´ | ιγ´ | ϟα´-ρ´ | κ´ | ρμγ´-ρν´ |
| ζ´ | μς´-νδ´ | ιδ´ | ρα´-ρδ´ | | |



## ΚΑΤΑΝΟΜΗ ΤΩΝ ΨΑΛΜΩΝ ΚΑΘ' ΥΛΗΝ ΕΠΙ ΤΩ ΣΚΟΠΩ ΙΝΑ ΑΝΑΓΙΝΩΣΚΩΝΤΑΙ ΚΑΤΑ ΤΑΣ ΕΞΗΣ ΠΕΡΙΣΤΑΣΕΙΣ

### Ψαλμοὶ πρὸς προσευχήν.

α´) Αἴτησις παρὰ τοῦ Θεοῦ ἀφέσεως ἁμαρτιῶν, ψαλμ. 6, 24, 34, 50, 129.

β´) Ἐν καταστάσει μετανοίας περὶ πραχθεισῶν ἁμαρτιῶν, ψαλμ. 5, 31, 37, 50, 129, 142.

γ´) Ἐν παραμελήσει θρησκευτικῶν καθηκόντων, ψαλμ. 42, 43, 63, 84.

δ´) Ἐν καταστάσει βαρυθυμίας, θλίψεως, κατηφείας, μελαγχολίας, ψαλμ. 12, 21, 68, 76, 87, 142.

ε´) Αἴτησις βοηθείας παρὰ τοῦ Θεοῦ ἐν περιστάσεσι, ψαλμ. 7, 16, 25, 34.

ς´) Ἔκφρασις ἐλπίδος πρὸς τὸν Θεὸν ἐν περιπτώσει δεινῶν περιπετειῶν καὶ θλίψεων, ψαλμ. 3, 15, 26, 30, 53, 55, 56, 60, 61, 70, 85.

ζ´) Ἐν θλίψει ἕνεκα διωγμῶν, ψαλμ. 43, 59, 73, 78, 79, 82, 88, 93, 101, 122, 136.

η´) Ἐν καταστάσει στενοχωρίας καὶ ἀδημονίας, ψαλμ. 2, 5, 10, 27, 40, 54, 58, 63, 78, 109, 119, 139, 140, 141.

θ´) Δοξολογία, ἐπίκλησις καὶ προβολὴ μεσιτείας, ψαλμ. 19, 66, 121, 131, 143.

### Ψαλμοὶ πρὸς εὐχαριστίαν ἕνεκα ἐλέους καὶ χάριτος.

α´) Εὐχαριστία πρὸς τὸν Θεὸν διὰ τὰς παρ' αὐτοῦ χάριτας, ψαλμ. 9, 17, 21, 29, 30, 39, 74, 102, 107, 115, 117, 137, 143.

β´) Εὐχαριστία πρὸς τὸν Θεὸν τὸν ἰσχυρόν, τὸν βοηθὸν καὶ σῴζοντα, ψαλμ. 45, 47, 64, 65, 67, 75, 80, 84, 97, 104, 123, 125, 128, 134, 135, 148.

Ψαλμοὶ πρὸς δοξολογίαν καὶ ἐν γένει πρὸς λατρείαν τοῦ Θεοῦ, ἐν οἷς ἐκτίθενται αἱ τοῦ Θεοῦ ἰδιότητες.

α΄) Ἀγαθότης καὶ ἔλεος τοῦ Θεοῦ. Μέριμνα αὐτοῦ ὑπὲρ τῶν καλῶν καὶ εὐσεβῶν ἀνθρώπων, ψαλμ. 22, 33, 35, 90, 99, 102, 106, 116, 120, 144, 146.

β΄) Δύναμις, μεγαλειότης, δόξα καὶ αἱ ἄλλαι ἰδιότητες τοῦ Θεοῦ, ψαλμ. 8, 18, 23, 28, 32, 46, 49, 64, 65, 75, 76, 92, 94, 95, 96, 98, 103, 110, 112, 113, 114, 133, 138, 146, 147, 149.

Ψαλμοὶ διδάσκοντες πῶς δυνάμεθα νὰ ζῶμεν βίον ἱερόν, εὐσεβῆ, εὐπρόσδεκτον τῷ Θεῷ καὶ ὠφέλιμον τοῖς ἀνθρώποις.

α΄) Χαρακτῆρες καὶ ἰδιώματα τῶν ἀγαθῶν καὶ τῶν κακῶν ἀνθρώπων καὶ περὶ τῆς εὐτυχίας καὶ δυστυχίας αὐτῶν, ψαλμ. 1, 5, 7, 9, 10, 11, 13, 14, 16, 23, 24, 31, 33, 35, 36, 49, 51, 52, 57, 72, 74, 83, 90, 91, 93, 111, 118, 120, 124, 126, 127, 132.

β΄) Ἐκθείασις τῆς ἐξοχότητος καὶ σημαντικότητος τοῦ νόμου τοῦ Θεοῦ, ψαλμ. 18, 118.

γ΄) Περιγραφὴ διὰ ζωηρῶν χρωμάτων τῆς ματαιότητος τοῦ ἀνθρωπίνου βίου, ψαλμ. 38, 48, 89.

δ΄) Συμβουλευτικοὶ καὶ διδακτικοὶ εἰς τοὺς ἡγεμόνας, ψαλμ. 81, 100.

ε΄) Περιέχων λαμπρὸν μάθημα ταπεινοφροσύνης, ψαλμ. 130.

ς΄) Προφητικοί, ἐν οἷς προλέγονται καὶ προπεριγράφονται ἀκριβῶς μέλλοντα γενέσθαι γεγονότα ἀφορῶντα ἰδίως εἰς τὸ πρόσωπον τοῦ προσδοκωμένου Μεσσίου, ψαλμ. 2, 15, 21, 39, 44, 67, 71, 86, 109, 117.

ζ΄) Ἱστορικοί, ἐν οἷς ἐκτίθενται ἁπλῶς ἱστορικὰ γεγονότα, ψαλμ. 77, 104, 105.



## ΠΙΝΑΞ ΗΜΕΡΟΜΗΝΙΩΝ ΤΟΥ ΠΑΣΧΑ (1991-2092)

κατὰ τὸ νέον καὶ τὸ παλαιὸν ἡμερολόγιον

(Τὰ δίσεκτα ἔτη σημειοῦνται δι᾽ ἀστερίσκου)

| Ἔτος | Ν. ἡμ. | Π. ἡμ. | Ἔτος | Ν. ἡμ. | Π. ἡμ. | Ἔτος | Ν. ἡμ. | Π. ἡμ. |
|---|---|---|---|---|---|---|---|---|
| 1991 | Ἀπρ. 7 | Μαρτ. 25 | 2025 | Ἀπρ. 20 | Ἀπρ. 7 | 2059 | Μαΐου 4 | Ἀπρ. 21 |
| 1992* | Ἀπρ. 26 | Ἀπρ. 13 | 2026 | Ἀπρ. 12 | Μαρτ. 30 | 2060* | Ἀπρ. 25 | Ἀπρ. 12 |
| 1993 | Ἀπρ. 18 | Ἀπρ. 5 | 2027 | Μαΐου 2 | Ἀπρ. 19 | 2061 | Ἀπρ. 10 | Μαρτ. 28 |
| 1994 | Μαΐου 1 | Ἀπρ. 18 | 2028* | Ἀπρ. 16 | Ἀπρ. 3 | 2062 | Ἀπρ. 30 | Ἀπρ. 17 |
| 1995 | Ἀπρ. 23 | Ἀπρ. 10 | 2029 | Ἀπρ. 8 | Μαρτ. 26 | 2063 | Ἀπρ. 22 | Ἀπρ. 9 |
| 1996* | Ἀπρ. 14 | Ἀπρ. 1 | 2030 | Ἀπρ. 28 | Ἀπρ. 15 | 2064* | Ἀπρ. 13 | Μαρτ. 31 |
| 1997 | Ἀπρ. 27 | Ἀπρ. 14 | 2031 | Ἀπρ. 13 | Μαρτ. 31 | 2065 | Ἀπρ. 26 | Ἀπρ. 13 |
| 1998 | Ἀπρ. 19 | Ἀπρ. 6 | 2032* | Μαΐου 2 | Ἀπρ. 19 | 2066 | Ἀπρ. 18 | Ἀπρ. 5 |
| 1999 | Ἀπρ. 11 | Μαρτ. 29 | 2033 | Ἀπρ. 24 | Ἀπρ. 11 | 2067 | Ἀπρ. 10 | Μαρτ. 28 |
| 2000* | Ἀπρ. 30 | Ἀπρ. 17 | 2034 | Ἀπρ. 9 | Μαρτ. 27 | 2068* | Ἀπρ. 29 | Ἀπρ. 16 |
| 2001 | Ἀπρ. 15 | Ἀπρ. 2 | 2035 | Ἀπρ. 29 | Ἀπρ. 16 | 2069 | Ἀπρ. 14 | Ἀπρ. 1 |
| 2002 | Μαΐου 5 | Ἀπρ. 22 | 2036* | Ἀπρ. 20 | Ἀπρ. 7 | 2070 | Μαΐου 4 | Ἀπρ. 21 |
| 2003 | Ἀπρ. 27 | Ἀπρ. 14 | 2037 | Ἀπρ. 5 | Μαρτ. 23 | 2071 | Ἀπρ. 19 | Ἀπρ. 6 |
| 2004* | Ἀπρ. 11 | Μαρτ. 29 | 2038 | Ἀπρ. 25 | Ἀπρ. 12 | 2072* | Ἀπρ. 10 | Μαρτ. 28 |
| 2005 | Μαΐου 1 | Ἀπρ. 18 | 2039 | Ἀπρ. 17 | Ἀπρ. 4 | 2073 | Ἀπρ. 30 | Ἀπρ. 17 |
| 2006 | Ἀπρ. 23 | Ἀπρ. 10 | 2040* | Μαΐου 6 | Ἀπρ. 23 | 2074 | Ἀπρ. 22 | Ἀπρ. 9 |
| 2007 | Ἀπρ. 8 | Μαρτ. 26 | 2041 | Ἀπρ. 21 | Ἀπρ. 8 | 2075 | Ἀπρ. 7 | Μαρτ. 25 |
| 2008* | Ἀπρ. 27 | Ἀπρ. 14 | 2042 | Ἀπρ. 13 | Μαρτ. 31 | 2076* | Ἀπρ. 26 | Ἀπρ. 13 |
| 2009 | Ἀπρ. 19 | Ἀπρ. 6 | 2043 | Μαΐου 3 | Ἀπρ. 20 | 2077 | Ἀπρ. 18 | Ἀπρ. 5 |
| 2010 | Ἀπρ. 4 | Μαρτ. 22 | 2044* | Ἀπρ. 24 | Ἀπρ. 11 | 2078 | Μαΐου 8 | Ἀπρ. 25 |
| 2011 | Ἀπρ. 24 | Ἀπρ. 11 | 2045 | Ἀπρ. 9 | Μαρτ. 27 | 2079 | Ἀπρ. 23 | Ἀπρ. 10 |
| 2012* | Ἀπρ. 15 | Ἀπρ. 2 | 2046 | Ἀπρ. 29 | Ἀπρ. 16 | 2080* | Ἀπρ. 14 | Ἀπρ. 1 |
| 2013 | Μαΐου 5 | Ἀπρ. 22 | 2047 | Ἀπρ. 21 | Ἀπρ. 8 | 2081 | Μαΐου 4 | Ἀπρ. 21 |
| 2014 | Ἀπρ. 20 | Ἀπρ. 7 | 2048* | Ἀπρ. 5 | Μαρτ. 23 | 2082 | Ἀπρ. 19 | Ἀπρ. 6 |
| 2015 | Ἀπρ. 12 | Μαρτ. 30 | 2049 | Ἀπρ. 25 | Ἀπρ. 12 | 2083 | Ἀπρ. 11 | Μαρτ. 29 |
| 2016* | Μαΐου 1 | Ἀπρ. 18 | 2050 | Ἀπρ. 17 | Ἀπρ. 4 | 2084* | Ἀπρ. 30 | Ἀπρ. 17 |
| 2017 | Ἀπρ. 16 | Ἀπρ. 3 | 2051 | Μαΐου 7 | Ἀπρ. 24 | 2085 | Ἀπρ. 15 | Ἀπρ. 2 |
| 2018 | Ἀπρ. 8 | Μαρτ. 26 | 2052* | Ἀπρ. 21 | Ἀπρ. 8 | 2086 | Ἀπρ. 7 | Μαρτ. 25 |
| 2019 | Ἀπρ. 28 | Ἀπρ. 15 | 2053 | Ἀπρ. 13 | Μαρτ. 31 | 2087 | Ἀπρ. 27 | Ἀπρ. 14 |
| 2020* | Ἀπρ. 19 | Ἀπρ. 6 | 2054 | Μαΐου 3 | Ἀπρ. 20 | 2088* | Ἀπρ. 18 | Ἀπρ. 5 |
| 2021 | Μαΐου 2 | Ἀπρ. 19 | 2055 | Ἀπρ. 18 | Ἀπρ. 5 | 2089 | Μαΐου 1 | Ἀπρ. 18 |
| 2022 | Ἀπρ. 24 | Ἀπρ. 11 | 2056* | Ἀπρ. 9 | Μαρτ. 27 | 2090 | Ἀπρ. 23 | Ἀπρ. 10 |
| 2023 | Ἀπρ. 16 | Ἀπρ. 3 | 2057 | Ἀπρ. 29 | Ἀπρ. 16 | 2091 | Ἀπρ. 8 | Μαρτ. 26 |
| 2024* | Μαΐου 5 | Ἀπρ. 22 | 2058 | Ἀπρ. 14 | Ἀπρ. 1 | 2092* | Ἀπρ. 27 | Ἀπρ. 14 |

# ΠΑΣΧΑΛΙΟΝ ΑΙΩΝΙΟΝ ΤΩΝ ΚΙΝΗΤΩΝ ΕΟΡΤΩΝ

| Τὸ ἅγιον Πάσχα | Ἡ Ἀνάληψις | Ἡ Πεντηκοστή | Νηστεία Ἀποστ. | Μνήμη αὐτῶν | Τὸ Τριῴδιον ἄρχεται | Ὁ Εὐαγγελισμός |
|---|---|---|---|---|---|---|
| Μαρτ. 22 | Ἀπρ. 30 | Μαΐου 10 | 42 | Δευτ. | Ἰαν. 11 | Τετ. Διακαιν. |
| Μαρτ. 23 | Μαΐου 1 | Μαΐου 11 | 41 | Κυρ. | Ἰαν. 12 | Τρ. Διακαιν. |
| Μαρτ. 24 | Μαΐου 2 | Μαΐου 12 | 40 | Σάβ. | Ἰαν. 13 | Δευτ. Διακ. |
| Μαρτ. 25 | Μαΐου 3 | Μαΐου 13 | 39 | Παρ. | Ἰαν. 14 | Κυρ. Πάσχα |
| Μαρτ. 26 | Μαΐου 4 | Μαΐου 14 | 38 | Πέμ. | Ἰαν. 15 | Μ. Σάβ. |
| Μαρτ. 27 | Μαΐου 5 | Μαΐου 15 | 37 | Τετ. | Ἰαν. 16 | Μ. Παρ. |
| Μαρτ. 28 | Μαΐου 6 | Μαΐου 16 | 36 | Τρ. | Ἰαν. 17 | Μ. Πέμ. |
| Μαρτ. 29 | Μαΐου 7 | Μαΐου 17 | 35 | Δευτ. | Ἰαν. 18 | Μ. Τετ. |
| Μαρτ. 30 | Μαΐου 8 | Μαΐου 18 | 34 | Κυρ. | Ἰαν. 19 | Μ. Τρ. |
| Μαρτ. 31 | Μαΐου 9 | Μαΐου 19 | 33 | Σάβ. | Ἰαν. 20 | Μ. Δευτ. |
| Ἀπρ. 1 | Μαΐου 10 | Μαΐου 20 | 32 | Παρ. | Ἰαν. 21 | Κυρ. Βαΐων |
| Ἀπρ. 2 | Μαΐου 11 | Μαΐου 21 | 31 | Πέμ. | Ἰαν. 22 | Σ. Λαζάρου |
| Ἀπρ. 3 | Μαΐου 12 | Μαΐου 22 | 30 | Τετ. | Ἰαν. 23 | Παρ. ς' ἑβδ. |
| Ἀπρ. 4 | Μαΐου 13 | Μαΐου 23 | 29 | Τρ. | Ἰαν. 24 | Πέμ. ς' ἑβδ. |
| Ἀπρ. 5 | Μαΐου 14 | Μαΐου 24 | 28 | Δευτ. | Ἰαν. 25 | Τετ. ς' ἑβδ. |
| Ἀπρ. 6 | Μαΐου 15 | Μαΐου 25 | 27 | Κυρ. | Ἰαν. 26 | Τρ. ς' ἑβδ. |
| Ἀπρ. 7 | Μαΐου 16 | Μαΐου 26 | 26 | Σάβ. | Ἰαν. 27 | Δευτ. ς' ἑβδ. |
| Ἀπρ. 8 | Μαΐου 17 | Μαΐου 27 | 25 | Παρ. | Ἰαν. 28 | Κυρ. ε' νηστ. |
| Ἀπρ. 9 | Μαΐου 18 | Μαΐου 28 | 24 | Πέμ. | Ἰαν. 29 | Σάβ. ε' ἑβδ. |
| Ἀπρ. 10 | Μαΐου 19 | Μαΐου 29 | 23 | Τετ. | Ἰαν. 30 | Παρ. ε' ἑβδ. |
| Ἀπρ. 11 | Μαΐου 20 | Μαΐου 30 | 22 | Τρ. | Ἰαν. 31 | Πέμ. ε' ἑβδ. |
| Ἀπρ. 12 | Μαΐου 21 | Μαΐου 31 | 21 | Δευτ. | Φεβ. 1 | Τετ. ε' ἑβδ. |
| Ἀπρ. 13 | Μαΐου 22 | Ἰουν. 1 | 20 | Κυρ. | Φεβ. 2 | Τρ. ε' ἑβδ. |
| Ἀπρ. 14 | Μαΐου 23 | Ἰουν. 2 | 19 | Σάβ. | Φεβ. 3 | Δευτ. ε' ἑβδ. |

Σημ. Ἐὰν τὸ ἔτος εἶναι δίσεκτον, τὸ Τριῴδιον ἄρχεται μίαν ἡμέραν βραδύτερον τῆς ἀναγραφομένης, λόγῳ τῆς προσθήκης τῆς 29ης Φεβρουαρίου.



| Τὸ ἅγιον Πάσχα | Ἡ Ἀνάληψις | Ἡ Πεντηκοστή | Νηστεία Ἀποστ. | Μνήμη αὐτῶν | Τὸ Τριῴδιον ἄρχεται | Ὁ Εὐαγγελισμός |
|---|---|---|---|---|---|---|
| Ἀπρ. 15 | Μαΐου 24 | Ἰουν. 3 | 18 | Παρ. | Φεβ. 4 | Κυρ. δ' νηστ. |
| Ἀπρ. 16 | Μαΐου 25 | Ἰουν. 4 | 17 | Πέμ. | Φεβ. 5 | Σάβ. δ' ἑβδ. |
| Ἀπρ. 17 | Μαΐου 26 | Ἰουν. 5 | 16 | Τετ. | Φεβ. 6 | Παρ. δ' ἑβδ. |
| Ἀπρ. 18 | Μαΐου 27 | Ἰουν. 6 | 15 | Τρ. | Φεβ. 7 | Πέμ. δ' ἑβδ. |
| Ἀπρ. 19 | Μαΐου 28 | Ἰουν. 7 | 14 | Δευτ. | Φεβ. 8 | Τετ. δ' ἑβδ. |
| Ἀπρ. 20 | Μαΐου 29 | Ἰουν. 8 | 13 | Κυρ. | Φεβ. 9 | Τρ. δ' ἑβδ. |
| Ἀπρ. 21 | Μαΐου 30 | Ἰουν. 9 | 12 | Σάβ. | Φεβ. 10 | Δευτ. δ' ἑβδ. |
| Ἀπρ. 22 | Μαΐου 31 | Ἰουν. 10 | 11 | Παρ. | Φεβ. 11 | Κυρ. γ' νηστ. |
| Ἀπρ. 23 | Ἰουν. 1 | Ἰουν. 11 | 10 | Πέμ. | Φεβ. 12 | Σάβ. γ' ἑβδ. |
| Ἀπρ. 24 | Ἰουν. 2 | Ἰουν. 12 | 9 | Τετ. | Φεβ. 13 | Παρ. γ' ἑβδ. |
| Ἀπρ. 25 | Ἰουν. 3 | Ἰουν. 13 | 8 | Τρ. | Φεβ. 14 | Πέμ. γ' ἑβδ. |
| Ἀπρ. 26 | Ἰουν. 4 | Ἰουν. 14 | 7 | Δευτ. | Φεβ. 15 | Τετ. γ' ἑβδ. |
| Ἀπρ. 27 | Ἰουν. 5 | Ἰουν. 15 | 6 | Κυρ. | Φεβ. 16 | Τρ. γ' ἑβδ. |
| Ἀπρ. 28 | Ἰουν. 6 | Ἰουν. 16 | 5 | Σάβ. | Φεβ. 17 | Δευτ. γ' ἑβδ. |
| Ἀπρ. 29 | Ἰουν. 7 | Ἰουν. 17 | 4 | Παρ. | Φεβ. 18 | Κυρ. β' νηστ. |
| Ἀπρ. 30 | Ἰουν. 8 | Ἰουν. 18 | 3 | Πέμ. | Φεβ. 19 | Σάβ. β' ἑβδ. |
| Μαΐου 1 | Ἰουν. 9 | Ἰουν. 19 | 2 | Τετ. | Φεβ. 20 | Παρ. β' ἑβδ. |
| Μαΐου 2 | Ἰουν. 10 | Ἰουν. 20 | 1 | Τρ. | Φεβ. 21 | Πέμ. β' ἑβδ. |
| Μαΐου 3 | Ἰουν. 11 | Ἰουν. 21 | - | Δευτ. | Φεβ. 22 | Τετ. β' ἑβδ. |
| Μαΐου 4 | Ἰουν. 12 | Ἰουν. 22 | - | Κυρ. | Φεβ. 23 | Τρ. β' ἑβδ. |
| Μαΐου 5 | Ἰουν. 13 | Ἰουν. 23 | - | Σάβ. | Φεβ. 24 | Δευτ. β' ἑβδ. |
| Μαΐου 6 | Ἰουν. 14 | Ἰουν. 24 | - | Παρ. | Φεβ. 25 | Κυρ. α' νηστ. |
| Μαΐου 7 | Ἰουν. 15 | Ἰουν. 25 | - | Πέμ. | Φεβ. 26 | Σάβ. α' ἑβδ. |
| Μαΐου 8 | Ἰουν. 16 | Ἰουν. 26 | - | Τετ. | Φεβ. 27 | Παρ. α' ἑβδ. |